Textus Receptus 20. και απηλθεν και ηρξατο κηρυσσειν εν τη δεκαπολει οσα εποιησεν αυτω ο ιησους και παντες εθαυμαζον <i>20. kai apelthen kai erksato kerussein en te dekapolei osa epoiesen auto o iesous kai pantes ethaumazon</i>

East Original 21 Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν συνήχθη ὄχλος πολὺς ἐπ’ αὐτόν, καὶ ἦν παρὰ τὴν θάλασσαν.

Textus Receptus 21. και διαπερασαντος του ιησου εν τω πλοιω παλιν εις το περαν συνηχθη οχλος πολυς επ αυτον και ην παρα την θαλασσαν <i>21. kai diaperasantos tou iesou en to ploio palin eis to peran sunechthe ochlos polus ep auton kai en para ten thalassan</i>

East Original 22 Καὶ ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος, καὶ ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ

Textus Receptus 22. και ιδου ερχεται εις των αρχισυναγωγων ονοματι ιαειρος και ιδων αυτον πιπτει προς τους ποδας αυτου <i>22. kai idou erchetai eis ton archisunagogon onomati iaeiros kai idon auton piptei pros tous podas autou</i>

East Original 23 καὶ παρεκάλει αὐτὸν πολλὰ, λέγων ὅτι

Textus Receptus 23. και παρεκαλει αυτον πολλα λεγων οτι το

Τὸ θυγάτριόν μου ἐσχάτως ἔχει ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας, ὅπως σωθῇ καὶ ζήσεται.

θυγατριον μου εσχατως εχει ινα ελθων επιθης αυτη τας χειρας οπως σωθη και ζησεται <i>23. kai parekalei auton polla legon oti to thugatrion mou eschatos echei ina elthon epithes aute tas cheiras opos sothe kai zesetai</i>

East Original

24 καὶ ἀπῆλθε μετ᾽ αὐτοῦ· καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν.

Textus Receptus

24. και απηλθεν μετ αυτου και ηκολουθει αυτω οχλος πολυς και συνεθλιβον αυτον <i>24. kai apelthen met autou kai ekolouthei auto ochlos polus kai sunethliβon auton</i>

East Original

25 Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα,

Textus Receptus

25. και γυνη τις ουσα εν ρυσει αιματος ετη δωδεκα <i>25. kai gune tis ousa en rusei aimatos ete dodeka</i>

East Original

26 καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα,

Textus Receptus

26. και πολλα παθουσα υπο πολλων ιατρων και δαπανησασα τα παρ εαυτης παντα και μηδεν ωφεληθεισα αλλα μαλλον εις το χειρον ελθουσα <i>26. kai polla pathousa upo pollon iatron kai dapanesasa ta par eautes panta kai meden ofeletheisa alla mallon eis to cheiron elthousa</i>

East Original

27 ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ·

Textus Receptus

27. ακουσασα περι του ιησου ελθουσα εν τω οχλω οπισθεν ηψατο του ιματιου αυτου <i>27. akousasa peri tou iesou elthousa en to ochlo

opisthen epsato toυ imatioυ aυtoυ</i>

East Original 28 ἔλεγεν γὰρ ἐν ἑαυτῇ ὅτι Ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι.

Textus Receptus 28. ελεγεν γαρ οτι καν των ιματιων αυτου αψωμαι σωθησομαι <i>28. elegen gar oti kan ton imation aυtoυ apsomai sothesomai</i>

East Original 29 καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος.

Textus Receptus 29. και ευθεως εξηρανθη η πηγη του αιματος αυτης και εγνω τω σωματι οτι ιαται απο της μαστιγος <i>29. kai eυtheos ekseranthe e pege toυ aimatos aυtes kai egno to somati oti iatai apo tes mastigos</i>

East Original 30 καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων;

Textus Receptus 30. και ευθεως ο ιησους επιγνους εν εαυτω την εξ αυτου δυναμιν εξελθουσαν επιστραφεις εν τω οχλω ελεγεν τις μου ηψατο των ιματιων <i>30. kai eυtheos o iesoυs epignoυs en eaυto ten eks aυtoυ dυnamin ekselthoυsan epistrafeis en to ochlo elegen tis moυ epsato ton imation</i>

East Original 31 καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις· τίς μου ἥψατο;

Textus Receptus 31. και ελεγον αυτω οι μαθηται αυτου βλεπεις τον οχλον συνθλιβοντα σε και λεγεις τις μου ηψατο <i>31. kai elegon aυto oi mathetai aυtoυ βlepeis ton ochlon sυnthliβonta se kai legeis tis moυ epsato</i>

East Original 32 καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν.

Textus Receptus 32. και περιεβλεπετο ιδειν την τουτο ποιησασαν <i>32. kai perieβlepeto idein ten

touto poiesasan</i>

East Original

33 ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν.

Textus Receptus

33. η δε γυνη φοβηθεισα και τρεμουσα ειδυια ο γεγονεν επ αυτη ηλθεν και προσεπεσεν αυτω και ειπεν αυτω πασαν την αληθειαν <i>33. e de gune foβetheisa kai tremousa eiduia o gegonen ep aute elthen kai prosepesen auto kai eipen auto pasan ten aletheian</i>

East Original

34 ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Textus Receptus

34. ο δε ειπεν αυτη θυγατερ η πιστις σου σεσωκεν σε υπαγε εις ειρηνην και ισθι υγιης απο της μαστιγος σου <i>34. o de eipen aute thugater e pistis sou sesoken se upage eis eirenen kai isthi ugies apo tes mastigos sou</i>

East Original

35 Ἔτι αὐτοῦ λαλοῦντος ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου λέγοντες ὅτι Ἡ θυγάτηρ σου ἀπέθανε· τί ἔτι σκύλλεις τὸν διδάσκαλον;

Textus Receptus

35. ετι αυτου λαλουντος ερχονται απο του αρχισυναγωγου λεγοντες οτι η θυγατηρ σου απεθανεν τι ετι σκυλλεις τον διδασκαλον <i>35. eti autou lalountos erchontai apo tou archisunagogou legontes oti e thugater sou apethanen ti eti skulleis ton didaskalon</i>

East Original

36 ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ· Μὴ φοβοῦ, μόνον πίστευε.

Textus Receptus

36. ο δε ιησους ευθεως ακουσας τον λογον λαλουμενον λεγει τω αρχισυναγωγω μη φοβου μονον πιστευε <i>36. o de iesous eutheos akousas ton logon laloumenon legei to archisunagogo me foβou monon pisteue</i>

East Original

37 καὶ οὐκ ἀφῆκεν αὐτῷ οὐδένα συνακολουθῆσαι εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβου.

Textus Receptus

37. και ουκ αφηκεν ουδενα αυτω συνακολουθησαι ει μη πετρον και ιακωβον και ιωαννην τον αδελφον ιακωβου <i>37. kai ouk afeken oudena auto sunakolouthesai ei me petron kai iakoβon kai ioannen ton adelfon iakoβou</i>

East Original

38 καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον, καὶ κλαίοντας καὶ ἀλαλάζοντας πολλά,

Textus Receptus

38. και ερχεται εις τον οικον του αρχισυναγωγου και θεωρει θορυβον {VAR2: και } κλαιοντας και αλαλαζοντας πολλα <i>38. kai erchetai eis ton oikon tou archisunagogou kai theorei thoruβon {VAR2: kai } klaiontas kai alalazontas polla</i>

East Original

39 καὶ εἰσελθὼν λέγει αὐτοῖς· Τί θορυβεῖσθε καὶ κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ.

Textus Receptus

39. και εισελθων λεγει αυτοις τι θορυβεισθε και κλαιετε το παιδιον ουκ απεθανεν αλλα καθευδει <i>39. kai eiselthon legei autois ti thoruβeisthe kai klaiete to paidion ouk apethanen alla katheudei</i>

East Original

40 ὁ δὲ ἐκβαλὼν πάντας παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα καὶ τοὺς μετ’ αὐτοῦ. καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον,

Textus Receptus

40. και κατεγελων αυτου ο δε εκβαλων απαντας παραλαμβανει τον πατερα του παιδιου και την μητερα και τους μετ αυτου και εισπορευεται οπου ην το παιδιον ανακειμενον <i>40. kai kategelon autou o de ekβalon apantas paralamβanei ton patera tou

paidiou kai ten metera kai tous met autou kai eisporeuetai opou en to paidion anakeimenon</i>

East Original
41 καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου λέγει αὐτῇ· Ταλιθά, κοῦμι, ὅ ἐστι μεθερμηνευόμενον, Τὸ κοράσιον, σοὶ λέγω ἔγειρε.

Textus Receptus
41. και κρατησας της χειρος του παιδιου λεγει αυτη ταλιθα κουμι ο εστιν μεθερμηνευομενον το κορασιον σοι λεγω εγειραι <i>41. kai kratesas tes cheiros tou paidiou legei aute talitha koumi o estin methermeneuomenon to korasion soi lego egeirai</i>

East Original
42 καὶ εὐθέως ἀνέστη τὸ κοράσιον καὶ περιεπάτει· ἦν γὰρ ἐτῶν δώδεκα. καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ.

Textus Receptus
42. και ευθεως ανεστη το κορασιον και περιεπατει ην γαρ ετων δωδεκα και εξεστησαν εκστασει μεγαλη <i>42. kai eutheos aneste to korasion kai periepatei en gar eton dodeka kai eksestesan ekstasei megale</i>

East Original
43 καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα μηδεὶς γνῷ τοῦτο· καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

Textus Receptus
43. και διεστειλατο αυτοις πολλα ινα μηδεις γνω τουτο και ειπεν δοθηναι αυτη φαγειν <i>43. kai diesteilato autois polla ina medeis gno touto kai eipen dothenai aute fagein</i>

## Κεφάλαιο 6

East Original
1 Καὶ ἐξῆλθε ἐκεῖθεν καὶ ἦλθεν εἰς τὴν πατρίδα ἑαυτοῦ· καὶ ἀκολουθοῦσιν αὐτῷ

Textus Receptus
1. και εξηλθεν εκειθεν και ηλθεν εις την πατριδα αυτου και ακολουθουσιν αυτω οι

οἱ μαθηταὶ αὐτοῦ.

μαθηται αυτου <i>1. kai ekselthen ekeithen kai elthen eis ten patrida autou kai akolouthousin auto oi mathetai autou</i>

East Original

2 καὶ γενομένου σαββάτου ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν· καὶ πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο λέγοντες· Πόθεν τούτῳ ταῦτα; καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται;

Textus Receptus

2. και γενομενου σαββατου ηρξατο εν τη συναγωγη διδασκειν και πολλοι ακουοντες εξεπλησσοντο λεγοντες ποθεν τουτω ταυτα και τις η σοφια η δοθεισα αυτω οτι και δυναμεις τοιαυται δια των χειρων αυτου γινονται <i>2. kai genomenou saββatou erksato en te sunagoge didaskein kai polloi akouontes ekseplessonto legontes pothen touto tauta kai tis e sofia e dotheisa auto oti kai dunameis toiautai dia ton cheiron autou ginontai</i>

East Original

3 οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς τῆς Μαρίας, ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα καὶ Σίμωνος; καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ.

Textus Receptus

3. ουχ ουτος εστιν ο τεκτων ο υιος μαριας αδελφος δε ιακωβου και ιωση και ιουδα και σιμωνος και ουκ εισιν αι αδελφαι αυτου ωδε προς ημας και εσκανδαλιζοντο εν αυτω <i>3. ouch outos estin o tekton o uios marias adelfos de iakoβou kai iose kai iouda kai simonos kai ouk eisin ai adelfai autou ode pros emas kai eskandalizonto en auto</i>

East Original

4 ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς ὅτι Οὐκ ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι

Textus Receptus

4. ελεγεν δε αυτοις ο ιησους οτι ουκ εστιν προφητης ατιμος ει μη εν τη πατριδι αυτου

αὐτοῦ καὶ ἐν τοῖς συγγενέσι καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.

και εν τοις συγγενεσιν και εν τη οικια αυτου <i>4. elegen de autois o iesous oti ouk estin profetes atimos ei me en te patridi autou kai en tois suggenesin kai en te oikia autou</i>

East Original

5 καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσε·

Textus Receptus

5. και ουκ ηδυνατο εκει ουδεμιαν δυναμιν ποιησαι ει μη ολιγοις αρρωστοις επιθεις τας χειρας εθεραπευσεν <i>5. kai ouk edunato ekei oudemian dunamin poiesai ei me oligois arrostois epitheis tas cheiras etherapeusen</i>

East Original

6 καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν. Καὶ περιῆγε τὰς κώμας κύκλῳ διδάσκων.

Textus Receptus

6. και εθαυμαζεν δια την απιστιαν αυτων και περιηγεν τας κωμας κυκλω διδασκων <i>6. kai ethaumazen dia ten apistian auton kai periegen tas komas kuklo didaskon</i>

East Original

7 Καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο, καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων,

Textus Receptus

7. και προσκαλειται τους δωδεκα και ηρξατο αυτους αποστελλειν δυο δυο και εδιδου αυτοις εξουσιαν των πνευματων των ακαθαρτων <i>7. kai proskaleitai tous dodeka kai erksato autous apostellein duo duo kai edidou autois eksousian ton pneumaton ton akatharton</i>

East Original

8 καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς ὁδὸν εἰ μὴ ῥάβδον μόνον, μὴ πήραν, μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν,

Textus Receptus

8. και παρηγγειλεν αυτοις ινα μηδεν αιρωσιν εις οδον ει μη ραβδον μονον μη πηραν μη αρτον μη εις την ζωνην χαλκον <i>8. kai pareggeilen autois ina meden airosin eis odon ei

me raβdon monon me peran me arton me eis ten zonen chalkon</i>

East Original

9 ἀλλ’ ὑποδεδεμένους σανδάλια, καὶ μὴ ἐνδεδύσθαι δύο χιτῶνας.

Textus Receptus

9. αλλ υποδεδεμενους σανδαλια και μη {VAR1: ενδυσησθε } {VAR2: ενδυσασθαι } δυο χιτωνας <i>9. all υpodedemenoυs sandalia kai me {VAR1: endυsesthe } {VAR2: endυsasthai } dυo chitonas</i>

East Original

10 καὶ ἔλεγεν αὐτοῖς· Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν·

Textus Receptus

10. και ελεγεν αυτοις οπου εαν εισελθητε εις οικιαν εκει μενετε εως αν εξελθητε εκειθεν <i>10. kai elegen aυtois opoυ ean eiselthete eis oikian ekei menete eos an ekselthete ekeithen</i>

East Original

11 καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν εἰς μαρτύριον αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ.

Textus Receptus

11. και οσοι αν μη δεξωνται υμας μηδε ακουσωσιν υμων εκπορευομενοι εκειθεν εκτιναξατε τον χουν τον υποκατω των ποδων υμων εις μαρτυριον αυτοις αμην λεγω υμιν ανεκτοτερον εσται σοδομοις η γομορροις εν ημερα κρισεως η τη πολει εκεινη <i>11. kai osoi an me deksontai υmas mede akoυsosin υmon ekporeυomenoi ekeithen ektinaksate ton choυn ton υpokato ton podon υmon eis martυrion aυtois amen lego υmin anektoteron estai sodomois e gomorrois en emera kriseos e

te polei ekeine</i>

East Original 12 Καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα μετανοήσωσι,

Textus Receptus 12. και εξελθοντες εκηρυσσον ινα μετανοησωσιν <i>12. kai ekselthontes ekerυsson ina metanoesosin</i>

East Original 13 καὶ δαιμόνια πολλὰ ἐξέβαλλον, καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον.

Textus Receptus 13. και δαιμονια πολλα εξεβαλλον και ηλειφον ελαιω πολλους αρρωστους και εθεραπευον <i>13. kai daimonia polla ekseβallon kai eleifon elaio polloυs arrostoυs kai etherapeυon</i>

East Original 14 Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρῴδης· φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ· καὶ ἔλεγεν ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ.

Textus Receptus 14. και ηκουσεν ο βασιλευς ηρωδης φανερον γαρ εγενετο το ονομα αυτου και ελεγεν οτι ιωαννης ο βαπτιζων εκ νεκρων ηγερθη και δια τουτο ενεργουσιν αι δυναμεις εν αυτω <i>14. kai ekoυsen o βasileυs erodes faneron gar egeneto to onoma aυtoυ kai elegen oti ioannes o βaptizon ek nekron egerthe kai dia toυto energoυsin ai dυnameis en aυto</i>

East Original 15 ἄλλοι ἔλεγον ὅτι Ἠλίας ἐστίν· ἄλλοι δὲ ἔλεγον ὅτι προφήτης ὡς εἷς τῶν προφητῶν.

Textus Receptus 15. αλλοι ελεγον οτι ηλιας εστιν αλλοι δε ελεγον οτι προφητης εστιν η ως εις των προφητων <i>15. alloi elegon oti elias estin alloi de elegon oti profetes estin e os eis ton profeton</i>

East Original 16 ἀκούσας δὲ ὁ Ἡρῴδης εἶπεν ὅτι Ὃν

Textus Receptus 16. ακουσας δε ο ηρωδης ειπεν οτι ον εγω

ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν· αὐτὸς ἠγέρθη ἐκ νεκρῶν.

απεκεφαλισα ιωαννην ουτος εστιν αυτος ηγερθη εκ νεκρων <i>16. akousas de o erodes eipen oti on ego apekefalisa ioannen outos estin autos egerthe ek nekron</i>

East Original

17 αὐτὸς γὰρ ὁ Ἡρῴδης ἀποστείλας ἐκράτησε τὸν Ἰωάννην καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ ὅτι αὐτὴν ἐγάμησεν.

Textus Receptus

17. αυτος γαρ ο ηρωδης αποστειλας εκρατησεν τον ιωαννην και εδησεν αυτον εν τη φυλακη δια ηρωδιαδα την γυναικα φιλιππου του αδελφου αυτου οτι αυτην εγαμησεν <i>17. autos gar o erodes aposteilas ekratesen ton ioannen kai edesen auton en te fulake dia erodiada ten gunaika filippou tou adelfou autou oti auten egamesen</i>

East Original

18 ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ ὅτι Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.

Textus Receptus

18. ελεγεν γαρ ο ιωαννης τω ηρωδη οτι ουκ εξεστιν σοι εχειν την γυναικα του αδελφου σου <i>18. elegen gar o ioannes to erode oti ouk eksestin soi echein ten gunaika tou adelfou sou</i>

East Original

19 ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν αὐτῷ καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο·

Textus Receptus

19. η δε ηρωδιας ενειχεν αυτω και ηθελεν αυτον αποκτειναι και ουκ ηδυνατο <i>19. e de erodias eneichen auto kai ethelen auton apokteinai kai ouk edunato</i>

East Original

20 ὁ γὰρ Ἡρῴδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον, καὶ

Textus Receptus

20. ο γαρ ηρωδης εφοβειτο τον ιωαννην ειδως αυτον ανδρα δικαιον και αγιον και συνετηρει

συνετήρει αὐτόν καὶ ἀκούσας αὐτοῦ πολλὰ ἐποίει καὶ ἡδέως αὐτοῦ ἤκουε.

αυτον και ακουσας αυτου πολλα εποιει και ηδεως αυτου ηκουεν <i>20. o gar erodes efoβeito ton ioannen eidos auton andra dikaion kai agion kai suneterei auton kai akousas autou polla epoiei kai edeos autou ekouen</i>

East Original

21 καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας,

Textus Receptus

21. και γενομενης ημερας ευκαιρου οτε ηρωδης τοις γενεσιοις αυτου δειπνον εποιει τοις μεγιστασιν αυτου και τοις χιλιαρχοις και τοις πρωτοις της γαλιλαιας <i>21. kai genomenes emeras eukairou ote erodes tois genesiois autou deipnon epoiei tois megistasin autou kai tois chiliarchois kai tois protois tes galilaias</i>

East Original

22 καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρῳδιάδος καὶ ὀρχησαμένης καὶ ἀρεσάσης τῷ Ἡρῴδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ· Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι.

Textus Receptus

22. και εισελθουσης της θυγατρος αυτης της ηρωδιαδος και ορχησαμενης και αρεσασης τω ηρωδη και τοις συνανακειμενοις ειπεν ο βασιλευς τω κορασιω αιτησον με ο εαν θελης και δωσω σοι <i>22. kai eiselthouses tes thugatros autes tes erodiados kai orchesamenes kai aresases to erode kai tois sunanakeimenois eipen o βasileus to korasio aiteson me o ean theles kai doso soi</i>

East Original

23 καὶ ὤμοσεν αὐτῇ ὅτι Ὃ ἐάν με αἰτήσῃς

Textus Receptus

23. και ωμοσεν αυτη οτι ο εαν με αιτησης

δώσω σοι ἕως ἡμίσους τῆς βασιλείας μου.

δωσω σοι εως ημισους της βασιλειας μου <i>23. kai omosen aυte oti o ean me aiteses doso soi eos emisoυs tes βasileias moυ</i>

East Original 24 ἡ δὲ ἐξελθοῦσα εἶπε τῇ μητρὶ αὐτῆς· Τί αἰτήσομαι; ἡ δὲ εἶπε· Τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ.

Textus Receptus 24. η δε εξελθουσα ειπεν τη μητρι αυτης τι αιτησομαι η δε ειπεν την κεφαλην ιωαννου του βαπτιστου <i>24. e de ekselthoυsa eipen te metri aυtes ti aitesomai e de eipen ten kefalen ioannoυ toυ βaptistoυ</i>

East Original 25 καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν βασιλέα ᾐτήσατο λέγουσα· Θέλω ἵνα μοι δῷς ἐξαυτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ.

Textus Receptus 25. και εισελθουσα ευθεως μετα σπουδης προς τον βασιλεα ητησατο λεγουσα θελω ινα μοι δως εξαυτης επι πινακι την κεφαλην ιωαννου του βαπτιστου <i>25. kai eiselthoυsa eυtheos meta spoυdes pros ton βasilea etesato legoυsa thelo ina moi dos eksaυtes epi pinaki ten kefalen ioannoυ toυ βaptistoυ</i>

East Original 26 καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς, διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι.

Textus Receptus 26. και περιλυπος γενομενος ο βασιλευς δια τους ορκους και τους συνανακειμενους ουκ ηθελησεν αυτην αθετησαι <i>26. kai perilυpos genomenos o βasileυs dia toυs orkoυs kai toυs sυnanakeimenoυs oυk ethelesen aυten athetesai</i>

East Original 27 καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα ἐπέταξεν ἐνεχθῆναι τὴν

Textus Receptus 27. και ευθεως αποστειλας ο βασιλευς σπεκουλατωρα επεταξεν ενεχθηναι την

κεφαλὴν αὐτοῦ.

κεφαλην αυτου <i>27. kai eutheos aposteilas o βasileus spekoulatora epetaksen enechthenai ten kefalen autou</i>

East Original

28 ὁ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ, καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς.

Textus Receptus

28. ο δε απελθων απεκεφαλισεν αυτον εν τη φυλακη και ηνεγκεν την κεφαλην αυτου επι πινακι και εδωκεν αυτην τω κορασιω και το κορασιον εδωκεν αυτην τη μητρι αυτης <i>28. o de apelthon apekefalisen auton en te fulake kai enegken ten kefalen autou epi pinaki kai edoken auten to korasio kai to korasion edoken auten te metri autes</i>

East Original

29 καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ.

Textus Receptus

29. και ακουσαντες οι μαθηται αυτου ηλθον και ηραν το πτωμα αυτου και εθηκαν αυτο εν {VAR1: τω } μνημειω <i>29. kai akousantes oi mathetai autou elthon kai eran to ptoma autou kai ethekan auto en {VAR1: to } mnemeio</i>

East Original

30 Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποιήσαν καὶ ὅσα ἐδίδαξαν.

Textus Receptus

30. και συναγονται οι αποστολοι προς τον ιησουν και απηγγειλαν αυτω παντα και οσα εποιησαν και οσα εδιδαξαν <i>30. kai sunagontai oi apostoloi pros ton iesoun kai apeggeilan auto panta kai osa epoiesan kai osa edidaksan</i>

East Original

31 καὶ εἶπεν αὐτοῖς· Δεῦτε ὑμεῖς αὐτοὶ

Textus Receptus

31. και ειπεν αυτοις δευτε υμεις αυτοι κατ

κατ᾽ ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε ὀλίγον· ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, καὶ οὐδὲ φαγεῖν εὐκαίρουν.

ιδιαν εις ερημον τοπον και αναπαυεσθε ολιγον ησαν γαρ οι ερχομενοι και οι υπαγοντες πολλοι και ουδε φαγειν ηυκαιρουν <i>31. kai eipen autois deute umeis autoi kat idian eis eremon topon kai anapauesthe oligon esan gar oi erchomenoi kai oi upagontes polloi kai oude fagein eukairoun</i>

East Original

32 καὶ ἀπῆλθον εἰς ἔρημον τόπον ἐν πλοίῳ κατ᾽ ἰδίαν.

Textus Receptus

32. και απηλθον εις ερημον τοπον τω πλοιω κατ ιδιαν <i>32. kai apelthon eis eremon topon to ploio kat idian</i>

East Original

33 καὶ εἶδον αὐτοὺς ὑπάγοντας, καὶ ἐπέγνωσαν αὐτοὺς πολλοί, καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ καὶ προῆλθον αὐτοὺς καὶ συνῆλθον πρὸς αὐτόν.

Textus Receptus

33. και ειδον αυτους υπαγοντας οι οχλοι και επεγνωσαν αυτον πολλοι και πεζη απο πασων των πολεων συνεδραμον εκει και προηλθον αυτους και συνηλθον προς αυτον <i>33. kai eidon autous upagontas oi ochloi kai epegnosan auton polloi kai peze apo pason ton poleon sunedramon ekei kai proelthon autous kai sunelthon pros auton</i>

East Original

34 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς εἶδεν πολὺν ὄχλον καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά.

Textus Receptus

34. και εξελθων ειδεν ο ιησους πολυν οχλον και εσπλαγχνισθη επ αυτοις οτι ησαν ως προβατα μη εχοντα ποιμενα και ηρξατο διδασκειν αυτους πολλα <i>34. kai ekselthon eiden o iesous polun ochlon kai esplagchnisthe

ep aυtois oti esan os proβata me echonta poimena kai erksato didaskein aυtoυs polla</i>

East Original

35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγουσιν ὅτι Ἔρημός ἐστιν ὁ τόπος καὶ ἤδη ὥρα πολλή·

Textus Receptus

35. και ηδη ωρας πολλης γενομενης προσελθοντες αυτω οι μαθηται αυτου λεγουσιν οτι ερημος εστιν ο τοπος και ηδη ωρα πολλη <i>35. kai ede oras polles genomenes proselthontes aυto oi mathetai aυtoυ legoυsin oti eremos estin o topos kai ede ora polle</i>

East Original

36 ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας ἀγοράσωσιν ἑαυτοῖς ἄρτους· τί γὰρ φάγωσιν οὐκ ἔχουσιν.

Textus Receptus

36. απολυσον αυτους ινα απελθοντες εις τους κυκλω αγρους και κωμας αγορασωσιν εαυτοις αρτους τι γαρ φαγωσιν ουκ εχουσιν <i>36. apolυson aυtoυs ina apelthontes eis toυs kυklo agroυs kai komas agorasosin eaυtois artoυs ti gar fagosin oυk echoυsin</i>

East Original

37 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. καὶ λέγουσιν αὐτῷ· Ἀπελθόντες ἀγοράσωμεν δηναρίων διακοσίων ἄρτους καὶ δῶμεν αὐτοῖς φαγεῖν;

Textus Receptus

37. ο δε αποκριθεις ειπεν αυτοις δοτε αυτοις υμεις φαγειν και λεγουσιν αυτω απελθοντες αγορασωμεν διακοσιων δηναριων αρτους και δωμεν αυτοις φαγειν <i>37. o de apokritheis eipen aυtois dote aυtois υmeis fagein kai legoυsin aυto apelthontes agorasomen diakosion denarion artoυs kai domen aυtois fagein</i>

| | | | |
|---|---|---|---|
| East Original | 38 ὁ δὲ λέγει αὐτοῖς· Πόσους ἄρτους ἔχετε; ὑπάγετε καὶ ἴδετε. καὶ γνόντες λέγουσι· Πέντε, καὶ δύο ἰχθύας. | Textus Receptus | 38. ο δε λεγει αυτοις ποσους αρτους εχετε υπαγετε και ιδετε και γνοντες λεγουσιν πεντε και δυο ιχθυας <i>38. o de legei autois posous artous echete upagete kai idete kai gnontes legousin pente kai duo ichthuas</i> |
| East Original | 39 καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. | Textus Receptus | 39. και επεταξεν αυτοις ανακλιναι παντας συμποσια συμποσια επι τω χλωρω χορτω <i>39. kai epetaksen autois anaklinai pantas sumposia sumposia epi to chloro chorto</i> |
| East Original | 40 καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα. | Textus Receptus | 40. και ανεπεσον πρασιαι πρασιαι ανα εκατον και ανα πεντηκοντα <i>40. kai anepeson prasiai prasiai ana ekaton kai ana pentekonta</i> |
| East Original | 41 καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε, καὶ κατέκλασε τοὺς ἄρτους καὶ ἐδίδου τοῖς μαθηταῖς ἵνα παραθῶσιν αὐτοῖς, καὶ τοὺς δύο ἰχθύας ἐμέρισε πᾶσι. | Textus Receptus | 41. και λαβων τους πεντε αρτους και τους δυο ιχθυας αναβλεψας εις τον ουρανον ευλογησεν και κατεκλασεν τους αρτους και εδιδου τοις μαθηταις αυτου ινα παραθωσιν αυτοις και τους δυο ιχθυας εμερισεν πασιν <i>41. kai laβon tous pente artous kai tous duo ichthuas anaβlepsas eis ton ouranon eulogesen kai kateklasen tous artous kai edidou tois mathetais autou ina parathosin autois kai tous duo ichthuas emerisen pasin</i> |

East Original 42 καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν,

Textus Receptus 42. και εφαγον παντες και εχορτασθησαν <i>42. kai efagon pantes kai echortasthesan</i>

East Original 43 καὶ ἦραν κλασμάτων δώδεκα κοφίνους πλήρεις, καὶ ἀπὸ τῶν ἰχθύων.

Textus Receptus 43. και ηραν κλασματων δωδεκα κοφινους πληρεις και απο των ιχθυων <i>43. kai eran klasmaton dodeka kofinous plereis kai apo ton ichthuon</i>

East Original 44 καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους πεντακισχίλιοι ἄνδρες.

Textus Receptus 44. και ησαν οι φαγοντες τους αρτους ωσει πεντακισχιλιοι ανδρες <i>44. kai esan oi fagontes tous artous osei pentakischilioi andres</i>

East Original 45 Καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδάν, ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον·

Textus Receptus 45. και ευθεως ηναγκασεν τους μαθητας αυτου εμβηναι εις το πλοιον και προαγειν εις το περαν προς {VAR1: βηθσαιδαν } {VAR2: βηθσαιδα } εως αυτος απολυση τον οχλον <i>45. kai eutheos enagkasen tous mathetas autou emβenai eis to ploion kai proagein eis to peran pros {VAR1: βethsaidan } {VAR2: βethsaida } eos autos apoluse ton ochlon</i>

East Original 46 καὶ ἀποταξάμενος αὐτοῖς ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι.

Textus Receptus 46. και αποταξαμενος αυτοις απηλθεν εις το ορος προσευξασθαι <i>46. kai apotaksamenos autois apelthen eis to oros proseuksasthai</i>

East Original 47 καὶ ὀψίας γενομένης ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ

Textus Receptus 47. και οψιας γενομενης ην το πλοιον εν μεσω της θαλασσης και αυτος μονος επι της γης

τῆς γῆς.

<i>47. kai opsias genomenes en to ploion en meso tes thalasses kai aυtos monos epi tes ges</i>

East Original

48 καὶ ἰδὼν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν· ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς· καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης, καὶ ἤθελε παρελθεῖν αὐτούς.

Textus Receptus

48. και ειδεν αυτους βασανιζομενους εν τω ελαυνειν ην γαρ ο ανεμος εναντιος αυτοις και περι τεταρτην φυλακην της νυκτος ερχεται προς αυτους περιπατων επι της θαλασσης και ηθελεν παρελθειν αυτους <i>48. kai eiden aυtoυs βasanizomenoυs en to elaυnein en gar o anemos enantios aυtois kai peri tetarten fυlaken tes nυktos erchetai pros aυtoυs peripaton epi tes thalasses kai ethelen parelthein aυtoυs</i>

East Original

49 οἱ δὲ ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης ἔδοξαν φάντασμα εἶναι, καὶ ἀνέκραξαν·

Textus Receptus

49. οι δε ιδοντες αυτον περιπατουντα επι της θαλασσης εδοξαν φαντασμα ειναι και ανεκραξαν <i>49. oi de idontes aυton peripatoυnta epi tes thalasses edoksan fantasma einai kai anekraksan</i>

East Original

50 πάντες γὰρ αὐτὸν εἶδον καὶ ἐταράχθησαν· καὶ εὐθέως ἐλάλησε μετ’ αὐτῶν καὶ λέγει αὐτοῖς· Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε.

Textus Receptus

50. παντες γαρ αυτον ειδον και εταραχθησαν και ευθεως ελαλησεν μετ αυτων και λεγει αυτοις θαρσειτε εγω ειμι μη φοβεισθε <i>50. pantes gar aυton eidon kai etarachthesan kai eυtheos elalesen met aυton kai legei aυtois tharseite ego eimi me foβeisthe</i>

East Original

51 καὶ ἀνέβη εἰς τὸ πλοῖον πρὸς αὐτοὺς, καὶ ἐκόπασεν ὁ ἄνεμος· καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο καὶ ἐθαύμαζον.

Textus Receptus

51. και ανεβη προς αυτους εις το πλοιον και εκοπασεν ο ανεμος και λιαν εκ περισσου εν εαυτοις εξισταντο και εθαυμαζον <i>51. kai aneβe pros autous eis to ploion kai ekopasen o anemos kai lian ek perissou en eautois eksistanto kai ethaumazon</i>

East Original

52 οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις, ἀλλ' ἦν αὐτῶν ἡ καρδία πεπωρωμένη.

Textus Receptus

52. ου γαρ συνηκαν επι τοις αρτοις ην γαρ η καρδια αυτων πεπωρωμενη <i>52. ou gar sunekan epi tois artois en gar e kardia auton peporomene</i>

East Original

53 Καὶ διαπεράσαντες ἀπῆλθον ἐπὶ τὴν γῆν Γεννησαρὲτ καὶ προσωρμίσθησαν.

Textus Receptus

53. και διαπερασαντες ηλθον επι την γην {VAR1: γενησαρετ } {VAR2: γεννησαρετ } και προσωρμισθησαν <i>53. kai diaperasantes elthon epi ten gen {VAR1: genesaret } {VAR2: gennesaret } kai prosormisthesan</i>

East Original

54 καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου εὐθέως ἐπιγνόντες αὐτὸν

Textus Receptus

54. και εξελθοντων αυτων εκ του πλοιου ευθεως επιγνοντες αυτον <i>54. kai ekselthonton auton ek tou ploiou eutheos epignontes auton</i>

East Original

55 περιέδραμον ὅλην τὴν περίχωρον ἐκείνην καὶ ἤρξαντο ἐπὶ τοῖς κραβάττοις τοὺς κακῶς ἔχοντας περιφέρειν ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστι·

Textus Receptus

55. περιδραμοντες ολην την περιχωρον εκεινην ηρξαντο επι τοις κραββατοις τους κακως εχοντας περιφερειν οπου ηκουον οτι εκει εστιν <i>55. peridramontes olen ten

perichoron ekeinen erksanto epi tois kraββatois tous kakos echontas periferein opou ekouon oti ekei estin</i>

East Original

56 καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ πόλεις ἢ ἀγροὺς, ἐν ταῖς ἀγοραῖς ἐτίθεσαν τοὺς ἀσθενοῦντας καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ, ἐσῴζοντο.

Textus Receptus

56. και οπου αν εισεπορευετο εις κωμας η πολεις η αγρους εν ταις αγοραις ετιθουν τους ασθενουντας και παρεκαλουν αυτον ινα καν του κρασπεδου του ιματιου αυτου αψωνται και οσοι αν ηπτοντο αυτου εσωζοντο <i>56. kai opou an eiseporeueto eis komas e poleis e agrous en tais agorais etithoun tous asthenountas kai parekaloun auton ina kan tou kraspedou tou imatiou autou apsontai kai osoi an eptonto autou esozonto</i>

## Κεφάλαιο 7

East Original

1 Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι καί τινες τῶν γραμματέων ἐλθόντες ἀπὸ Ἱεροσολύμων·

Textus Receptus

1. και συναγονται προς αυτον οι φαρισαιοι και τινες των γραμματεων ελθοντες απο ιεροσολυμων <i>1. kai sunagontai pros auton oi farisaioi kai tines ton grammateon elthontes apo ierosolumon</i>

East Original

2 καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσί, τοῦτ᾽ ἔστιν ἀνίπτοις,

Textus Receptus

2. και ιδοντες τινας των μαθητων αυτου κοιναις χερσιν τουτ εστιν ανιπτοις εσθιοντας

ἐσθίοντας ἄρτους, ἐμέμψαντο·

αρτους εμεμψαντο <i>2. kai idontes tinas ton matheton aυtoυ koinais chersin toυt estin aniptois esthiontas artoυs emempsanto</i>

East Original

3 οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων·

Textus Receptus

3. οι γαρ φαρισαιοι και παντες οι ιουδαιοι εαν μη πυγμη νιψωνται τας χειρας ουκ εσθιουσιν κρατουντες την παραδοσιν των πρεσβυτερων <i>3. oi gar farisaioi kai pantes oi ioυdaioi ean me pυgme nipsontai tas cheiras oυk esthioυsin kratoυntes ten paradosin ton presβυteron</i>

East Original

4 καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι· καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλινῶν·

Textus Receptus

4. και απο αγορας εαν μη βαπτισωνται ουκ εσθιουσιν και αλλα πολλα εστιν α παρελαβον κρατειν βαπτισμους ποτηριων και ξεστων και χαλκιων και κλινων <i>4. kai apo agoras ean me βaptisontai oυk esthioυsin kai alla polla estin a parelaβon kratein βaptismoυs poterion kai kseston kai chalkion kai klinon</i>

East Original

5 ἔπειτα ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς· Διατί οὐ περιπατοῦσιν οἱ μαθηταί σου κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλ’ ἀνίπτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον;

Textus Receptus

5. επειτα επερωτωσιν αυτον οι φαρισαιοι και οι γραμματεις δια τι οι μαθηται σου ου περιπατουσιν κατα την παραδοσιν των πρεσβυτερων αλλα ανιπτοις χερσιν εσθιουσιν τον αρτον <i>5. epeita eperotosin aυton oi farisaioi kai oi grammateis dia ti oi mathetai soυ oυ peripatoυsin kata ten paradosin ton

presβυteron alla aniptois chersin esthioυsin ton arton</i>

East Original

6 ὁ δὲ εἶπεν αὐτοῖς ὅτι Καλῶς προεφήτευσεν Ἠσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται· οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ·

Textus Receptus

6. ο δε αποκριθεις ειπεν αυτοις οτι καλως προεφητευσεν ησαιας περι υμων των υποκριτων ως γεγραπται ουτος ο λαος τοις χειλεσιν με τιμα η δε καρδια αυτων πορρω απεχει απ εμου <i>6. o de apokritheis eipen aυtois oti kalos proefeteυsen esaias peri υmon ton υpokriton os gegraptai oυtos o laos tois cheilesin me tima e de kardia aυton porro apechei ap emoυ</i>

East Original

7 μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων.

Textus Receptus

7. ματην δε σεβονται με διδασκοντες διδασκαλιας ενταλματα ανθρωπων <i>7. maten de seβontai me didaskontes didaskalias entalmata anthropon</i>

East Original

8 ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ Θεοῦ κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

Textus Receptus

8. αφεντες γαρ την εντολην του θεου κρατειτε την παραδοσιν των ανθρωπων βαπτισμους ξεστων και ποτηριων και αλλα παρομοια τοιαυτα πολλα ποιειτε <i>8. afentes gar ten entolen toυ theoυ krateite ten paradosin ton anthropon βaptismoυs kseston kai poterion kai alla paromoia toiaυta polla poieite</i>

East Original

9 καὶ ἔλεγεν αὐτοῖς· Καλῶς ἀθετεῖτε τὴν

Textus Receptus

9. και ελεγεν αυτοις καλως αθετειτε την

ἐντολὴν τοῦ Θεοῦ ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε.

εντολην του θεου ινα την παραδοσιν υμων τηρησητε <i>9. kai elegen autois kalos atheteite ten entolen tou theou ina ten paradosin umon teresete</i>

East Original

10 Μωϋσῆς γὰρ εἶπε· τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· καί· ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω·

Textus Receptus

10. μωσης γαρ ειπεν τιμα τον πατερα σου και την μητερα σου και ο κακολογων πατερα η μητερα θανατω τελευτατω <i>10. moses gar eipen tima ton patera sou kai ten metera sou kai o kakologon patera e metera thanato teleutato</i>

East Original

11 ὑμεῖς δὲ λέγετε· ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί, κορβᾶν, ὅ ἐστι, δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς,

Textus Receptus

11. υμεις δε λεγετε εαν ειπη ανθρωπος τω πατρι η τη μητρι κορβαν ο εστιν δωρον ο εαν εξ εμου ωφεληθης <i>11. umeis de legete ean eipe anthropos to patri e te metri korβan o estin doron o ean eks emou ofelethes</i>

East Original

12 καί οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ ἢ τῇ μητρί αὐτοῦ,

Textus Receptus

12. και ουκετι αφιετε αυτον ουδεν ποιησαι τω πατρι αυτου η τη μητρι αυτου <i>12. kai ouketi afiete auton ouden poiesai to patri autou e te metri autou</i>

East Original

13 ἀκυροῦντες τὸν λόγον τοῦ Θεοῦ τῇ παραδόσει ὑμῶν ᾗ παρεδώκατε· καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

Textus Receptus

13. ακυρουντες τον λογον του θεου τη παραδοσει υμων η παρεδωκατε και παρομοια τοιαυτα πολλα ποιειτε <i>13. akurountes ton logon tou theou te paradosei umon e paredokate

kai paromoia toiauta polla poieite</i>

East Original
14 Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον ἔλεγεν αὐτοῖς· Ἀκούετέ μου πάντες καὶ συνίετε.

Textus Receptus
14. και προσκαλεσαμενος παντα τον οχλον ελεγεν αυτοις ακουετε μου παντες και συνιετε <i>14. kai proskalesamenos panta ton ochlon elegen autois akouete mou pantes kai suniete</i>

East Original
15 οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν ὃ δύναται αὐτόν κοινῶσαι, ἀλλὰ τὰ ἐκπορευόμενά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον.

Textus Receptus
15. ουδεν εστιν εξωθεν του ανθρωπου εισπορευομενον εις αυτον ο δυναται αυτον κοινωσαι αλλα τα εκπορευομενα απ αυτου εκεινα εστιν τα κοινουντα τον ανθρωπον <i>15. ouden estin eksothen tou anthropou eisporeuomenon eis auton o dunatai auton koinosai alla ta ekporeuomena ap autou ekeina estin ta koinounta ton anthropon</i>

East Original
16 εἴ τις ἔχει ὦτα ἀκούειν ἀκουέτω.

Textus Receptus
16. ει τις εχει ωτα ακουειν ακουετω <i>16. ei tis echei ota akouein akoueto</i>

East Original
17 Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς.

Textus Receptus
17. και οτε εισηλθεν εις οικον απο του οχλου επηρωτων αυτον οι μαθηται αυτου περι της παραβολης <i>17. kai ote eiselthen eis oikon apo tou ochlou eperoton auton oi mathetai autou peri tes paraβoles</i>

East Original
18 καὶ λέγει αὐτοῖς· Οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὔπω νοεῖτε ὅτι πᾶν τὸ

Textus Receptus
18. και λεγει αυτοις ουτως και υμεις ασυνετοι εστε ου νοειτε οτι παν το εξωθεν

ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον οὐ δύναται αὐτὸν κοινῶσαι;

εισπορευομενον εις τον ανθρωπον ου δυναται αυτον κοινωσαι <i>18. kai legei autois outos kai umeis asunetoi este ou noeite oti pan to eksothen eisporeuomenon eis ton anthropon ou dunatai auton koinosai</i>

East Original

19 ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλὰ εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον πάντα τὰ βρώματα.

Textus Receptus

19. οτι ουκ εισπορευεται αυτου εις την καρδιαν αλλ εις την κοιλιαν και εις τον αφεδρωνα εκπορευεται καθαριζον παντα τα βρωματα <i>19. oti ouk eisporeuetai autou eis ten kardian all eis ten koilian kai eis ton afedrona ekporeuetai katharizon panta ta βromata</i>

East Original

20 ἔλεγε δὲ ὅτι Τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον.

Textus Receptus

20. ελεγεν δε οτι το εκ του ανθρωπου εκπορευομενον εκεινο κοινοι τον ανθρωπον <i>20. elegen de oti to ek tou anthropou ekporeuomenon ekeino koinoi ton anthropon</i>

East Original

21 ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι,

Textus Receptus

21. εσωθεν γαρ εκ της καρδιας των ανθρωπων οι διαλογισμοι οι κακοι εκπορευονται μοιχειαι πορνειαι φονοι <i>21. esothen gar ek tes kardias ton anthropon oi dialogismoi oi kakoi ekporeuontai moicheiai porneiai fonoi</i>

East Original

22 κλοπαί, πλεονεξίαι, πονηρίαι, δόλος,

Textus Receptus

22. κλοπαι πλεονεξιαι πονηριαι δολος

ἀσέλγεια, ὀφθαλμὸς πονηρός, βλασφημία, ὑπερηφανία, ἀφροσύνη·

ασελγεια οφθαλμος πονηρος βλασφημια υπερηφανια αφροσυνη <i>22. klopai pleoneksiai poneriai dolos aselgeia ofthalmos poneros βlasfemia υperefania afrosυne</i>

East Original

23 πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται καὶ κοινοῖ τὸν ἄνθρωπον.

Textus Receptus

23. παντα ταυτα τα πονηρα εσωθεν εκπορευεται και κοινοι τον ανθρωπον <i>23. panta taυta ta ponera esothen ekporeυetai kai koinoi ton anthropon</i>

East Original

24 Καὶ ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος. καὶ εἰσελθὼν εἰς οἰκίαν οὐδένα ἤθελε γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν.

Textus Receptus

24. και εκειθεν αναστας απηλθεν εις τα μεθορια τυρου και σιδωνος και εισελθων εις την οικιαν ουδενα ηθελεν γνωναι και ουκ ηδυνηθη λαθειν <i>24. kai ekeithen anastas apelthen eis ta methoria tυroυ kai sidonos kai eiselthon eis ten oikian oυdena ethelen gnonai kai oυk edυnethe lathein</i>

East Original

25 ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ·

Textus Receptus

25. ακουσασα γαρ γυνη περι αυτου ης ειχεν το θυγατριον αυτης πνευμα ακαθαρτον ελθουσα προσεπεσεν προς τους ποδας αυτου <i>25. akoυsasa gar gυne peri aυtoυ es eichen to thυgatrion aυtes pneυma akatharton elthoυsa prosepesen pros toυs podas aυtoυ</i>

East Original

26 ἡ δὲ γυνὴ ἦν Ἑλληνίς, Συροφοινίκισσα τῷ γένει· καὶ ἠρώτα αὐτὸν ἵνα τὸ

Textus Receptus

26. ην δε η γυνη ελληνις συροφοινισσα τω γενει και ηρωτα αυτον ινα το δαιμονιον

δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς.

εκβαλλη εκ της θυγατρος αυτης <i>26. en de e gυne ellenis sυrofoinissa to genei kai erota aυton ina to daimonion ekβalle ek tes thυgatros aυtes</i>

East Original

27 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῇ· Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· οὐ γάρ ἐστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ τοῖς κυναρίοις βαλεῖν.

Textus Receptus

27. ο δε ιησους ειπεν αυτη αφες πρωτον χορτασθηναι τα τεκνα ου γαρ καλον εστιν λαβειν τον αρτον των τεκνων και βαλειν τοις κυναριοις <i>27. o de iesoυs eipen aυte afes proton chortasthenai ta tekna oυ gar kalon estin laβein ton arton ton teknon kai βalein tois kυnariois</i>

East Original

28 ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ· Ναί, Κύριε· καὶ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίουσιν ἀπὸ τῶν ψιχίων τῶν παιδίων.

Textus Receptus

28. η δε απεκριθη και λεγει αυτω ναι κυριε και γαρ τα κυναρια υποκατω της τραπεζης εσθιει απο των ψιχιων των παιδιων <i>28. e de apekrithe kai legei aυto nai kυrie kai gar ta kυnaria υpokato tes trapezes esthiei apo ton psichion ton paidion</i>

East Original

29 καὶ εἶπεν αὐτῇ· Διὰ τοῦτον τὸν λόγον ὕπαγε· ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου.

Textus Receptus

29. και ειπεν αυτη δια τουτον τον λογον υπαγε εξεληλυθεν το δαιμονιον εκ της θυγατρος σου <i>29. kai eipen aυte dia toυton ton logon υpage ekselelυthen to daimonion ek tes thυgatros soυ</i>

East Original

30 καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς

Textus Receptus

30. και απελθουσα εις τον οικον αυτης ευρεν

εὗρε τὸ παιδίον βεβλημένον ἐπὶ τὴν κλίνην καὶ τὸ δαιμόνιον ἐξεληλυθός.

το δαιμονιον εξεληλυθος και την θυγατερα βεβλημενην επι της κλινης <i>30. kai apelthousa eis ton oikon autes euren to daimonion ekselelυthos kai ten thugatera βeβlemenen epi tes klines</i>

East Original

31 Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως.

Textus Receptus

31. και παλιν εξελθων εκ των οριων τυρου και σιδωνος ηλθεν προς την θαλασσαν της γαλιλαιας ανα μεσον των οριων δεκαπολεως <i>31. kai palin ekselthon ek ton orion turou kai sidonos elthen pros ten thalassan tes galilaias ana meson ton orion dekapoleos</i>

East Original

32 καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα.

Textus Receptus

32. και φερουσιν αυτω κωφον μογιλαλον και παρακαλουσιν αυτον ινα επιθη αυτω την χειρα <i>32. kai ferousin auto kofon mogilalon kai parakalousin auton ina epithe auto ten cheira</i>

East Original

33 καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ,

Textus Receptus

33. και απολαβομενος αυτον απο του οχλου κατ ιδιαν εβαλεν τους δακτυλους αυτου εις τα ωτα αυτου και πτυσας ηψατο της γλωσσης αυτου <i>33. kai apolaβomenos auton apo tou ochlou kat idian eβalen tous daktulous autou eis ta ota autou kai ptusas epsato tes glosses autou</i>

East Original

34 καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐστέναξε καὶ λέγει αὐτῷ· Ἐφφαθά, ὅ ἐστι διανοίχθητι.

Textus Receptus

34. και αναβλεψας εις τον ουρανον εστεναξεν και λεγει αυτω εφφαθα ο εστιν διανοιχθητι <i>34. kai anaβlepsas eis ton ouranon estenaksen kai legei auto effatha o estin dianoichtheti</i>

East Original

35 καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαί καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς.

Textus Receptus

35. και ευθεως διηνοιχθησαν αυτου αι ακοαι και ελυθη ο δεσμος της γλωσσης αυτου και ελαλει ορθως <i>35. kai eutheos dienoichthesan autou ai akoai kai eluthe o desmos tes glosses autou kai elalei orthos</i>

East Original

36 καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυσσον.

Textus Receptus

36. και διεστειλατο αυτοις ινα μηδενι ειπωσιν οσον δε αυτος αυτοις διεστελλετο μαλλον περισσοτερον εκηρυσσον <i>36. kai diesteilato autois ina medeni eiposin oson de autos autois diestelleto mallon perissoteron ekerusson</i>

East Original

37 καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο λέγοντες· Καλῶς πάντα πεποίηκε· καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν καὶ τοὺς ἀλάλους λαλεῖν.

Textus Receptus

37. και υπερπερισσως εξεπλησσοντο λεγοντες καλως παντα πεποιηκεν και τους κωφους ποιει ακουειν και τους αλαλους λαλειν <i>37. kai uperperissos ekseplessonto legontes kalos panta pepoieken kai tous kofous poiei akouein kai tous alalous lalein</i>

Κεφάλαιο 8

East Original

1 Ἐν ἐκείναις ταῖς ἡμέραις πάλιν πολλοῦ ὄχλου ὄντος καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ λέγει αὐτοῖς·

Textus Receptus

1. εν εκειναις ταις ημεραις παμπολλου οχλου οντος και μη εχοντων τι φαγωσιν προσκαλεσαμενος ο ιησους τους μαθητας αυτου λεγει αυτοις <i>1. en ekeinais tais emerais pampollou ochlou ontos kai me echonton ti fagosin proskalesamenos o iesous tous mathetas autou legei autois</i>

East Original

2 Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσί μοι καὶ οὐκ ἔχουσι τί φάγωσι·

Textus Receptus

2. σπλαγχνιζομαι επι τον οχλον οτι ηδη ημερας τρεις προσμενουσιν μοι και ουκ εχουσιν τι φαγωσιν <i>2. splagchnizomai epi ton ochlon oti ede emeras treis prosmenousin moi kai ouk echousin ti fagosin</i>

East Original

3 καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ αὐτῶν ἀπὸ μακρόθεν ἥκασι.

Textus Receptus

3. και εαν απολυσω αυτους νηστεις εις οικον αυτων εκλυθησονται εν τη οδω τινες γαρ αυτων μακροθεν ηκασιν <i>3. kai ean apoluso autous nesteis eis oikon auton ekluthesontai en te odo tines gar auton makrothen ekasin</i>

East Original

4 καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ᾽ ἐρημίας;

Textus Receptus

4. και απεκριθησαν αυτω οι μαθηται αυτου ποθεν τουτους δυνησεται τις ωδε χορτασαι αρτων επ ερημιας <i>4. kai apekrithesan auto oi mathetai autou pothen toutous dunesetai tis ode

chortasai arton ep eremias</i>

East Original 5 καὶ ἐπηρώτα αὐτούς· Πόσους ἔχετε ἄρτους; οἱ δὲ εἶπον· Ἑπτά.

Textus Receptus 5. και επηρωτα αυτους ποσους εχετε αρτους οι δε ειπον επτα <i>5. kai eperota aυtoυs posoυs echete artoυs oi de eipon epta</i>

East Original 6 καὶ παρήγγειλε τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους εὐχαριστήσας ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παρατιθῶσι· καὶ παρέθηκαν τῷ ὄχλῳ.

Textus Receptus 6. και παρηγγειλεν τω οχλω αναπεσειν επι της γης και λαβων τους επτα αρτους ευχαριστησας εκλασεν και εδιδου τοις μαθηταις αυτου ινα παραθωσιν και παρεθηκαν τω οχλω <i>6. kai pareggeilen to ochlo anapesein epi tes ges kai laβon toυs epta artoυs eυcharistesas eklasen kai edidoυ tois mathetais aυtoυ ina parathosin kai parethekan to ochlo</i>

East Original 7 καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ αὐτὰ εὐλογήσας εἶπε παρατιθέναι καὶ αὐτά.

Textus Receptus 7. και ειχον ιχθυδια ολιγα και ευλογησας ειπεν παραθειναι και αυτα <i>7. kai eichon ichthυdia oliga kai eυlogesas eipen paratheinai kai aυta</i>

East Original 8 ἔφαγον δὲ καὶ ἐχορτάσθησαν, καὶ ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας.

Textus Receptus 8. εφαγον δε και εχορτασθησαν και ηραν περισσευματα κλασματων επτα σπυριδας <i>8. efagon de kai echortasthesan kai eran perisseυmata klasmaton epta spυridas</i>

East Original 9 ἦσαν δὲ ὡς τετρακισχίλιοι· καὶ ἀπέλυσεν αὐτούς.

Textus Receptus 9. ησαν δε οι φαγοντες ως τετρακισχιλιοι και απελυσεν αυτους <i>9. esan de oi fagontes os

tetrakischilioi kai apelυsen aυtoυs</i>

East Original

10 Καὶ ἐμβὰς εὐθὺς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά.

Textus Receptus

10. και ευθεως εμβας εις το πλοιον μετα των μαθητων αυτου ηλθεν εις τα μερη δαλμανουθα <i>10. kai eυtheos emβas eis to ploion meta ton matheton aυtoυ elthen eis ta mere dalmanoυtha</i>

East Original

11 Καὶ ἐξῆλθον οἱ Φαρισαῖοι καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ’ αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν.

Textus Receptus

11. και εξηλθον οι φαρισαιοι και ηρξαντο συζητειν αυτω ζητουντες παρ αυτου σημειον απο του ουρανου πειραζοντες αυτον <i>11. kai ekselthon oi farisaioi kai erksanto sυzetein aυto zetoυntes par aυtoυ semeion apo toυ oυranoυ peirazontes aυton</i>

East Original

12 καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ λέγει· Τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ; ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον.

Textus Receptus

12. και αναστεναξας τω πνευματι αυτου λεγει τι η γενεα αυτη σημειον επιζητει αμην λεγω υμιν ει δοθησεται τη γενεα ταυτη σημειον <i>12. kai anastenaksas to pneυmati aυtoυ legei ti e genea aυte semeion epizetei amen lego υmin ei dothesetai te genea taυte semeion</i>

East Original

13 καὶ ἀφεὶς αὐτοὺς εἰς τὸ πλοῖον ἀπῆλθε πάλιν.

Textus Receptus

13. και αφεις αυτους εμβας παλιν εις το πλοιον απηλθεν εις το περαν <i>13. kai afeis aυtoυs emβas palin eis to ploion apelthen eis to peran</i>

East Original

14 Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, καὶ εἰ

Textus Receptus

14. και επελαθοντο {VAR2: οι μαθηται }

μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ’ ἑαυτῶν ἐν τῷ πλοίῳ.

λαβειν αρτους και ει μη ενα αρτον ουκ ειχον μεθ εαυτων εν τω πλοιω <i>14. kai epelathonto {VAR2: oi mathetai } laβein artous kai ei me ena arton ouk eichon meth eauton en to ploio</i>

East Original 15 καὶ διεστέλλετο αὐτοῖς λέγων· Ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ τῆς ζύμης Ἡρῴδου.

Textus Receptus 15. και διεστελλετο αυτοις λεγων ορατε βλεπετε απο της ζυμης των φαρισαιων και της ζυμης ηρωδου <i>15. kai diestelleto autois legon orate βlepete apo tes zumes ton farisaion kai tes zumes erodou</i>

East Original 16 καὶ διελογίζοντο πρὸς ἀλλήλους λέγοντες ὅτι Ἄρτους οὐκ ἔχομεν.

Textus Receptus 16. και διελογιζοντο προς αλληλους λεγοντες οτι αρτους ουκ εχομεν <i>16. kai dielogizonto pros allelous legontes oti artous ouk echomen</i>

East Original 17 καὶ γνοὺς ὁ Ἰησοῦς λέγει αὐτοῖς· Τί διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχετε; οὔπω νοεῖτε οὐδὲ συνίετε; ἔτι πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν;

Textus Receptus 17. και γνους ο ιησους λεγει αυτοις τι διαλογιζεσθε οτι αρτους ουκ εχετε ουπω νοειτε ουδε συνιετε ετι πεπωρωμενην εχετε την καρδιαν υμων <i>17. kai gnous o iesous legei autois ti dialogizesthe oti artous ouk echete oupo noeite oude suniete eti peporomenen echete ten kardian umon</i>

East Original 18 ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε, καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνημονεύετε;

Textus Receptus 18. οφθαλμους εχοντες ου βλεπετε και ωτα εχοντες ουκ ακουετε και ου μνημονευετε <i>18. ofthalmous echontes ou βlepete kai ota

echontes ouk akouete kai ou mnemoneuete</i>

East Original

11 Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς καὶ εἰς τὸ ἱερόν· καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.

Textus Receptus

11. και εισηλθεν εις ιεροσολυμα ο ιησους και εις το ιερον και περιβλεψαμενος παντα οψιας ηδη ουσης της ωρας εξηλθεν εις βηθανιαν μετα των δωδεκα <i>11. kai eiselthen eis ierosoluma o iesous kai eis to ieron kai periβlepsamenos panta opsias ede ouses tes oras ekselthen eis βethanian meta ton dodeka</i>

East Original

12 Καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας ἐπείνασε·

Textus Receptus

12. και τη επαυριον εξελθοντων αυτων απο βηθανιας επεινασεν <i>12. kai te epaurion ekselthonton auton apo βethanias epeinasen</i>

East Original

13 καὶ ἰδὼν συκῆν ἀπὸ μακρόθεν ἔχουσαν φύλλα, ἦλθεν εἰ ἄρα τι εὑρήσει ἐν αὐτῇ· καὶ ἐλθὼν ἐπ’ αὐτὴν οὐδὲν εὗρεν εἰ μὴ φύλλα· οὐ γὰρ ἦν καιρὸς σύκων.

Textus Receptus

13. και ιδων συκην μακροθεν εχουσαν φυλλα ηλθεν ει αρα ευρησει τι εν αυτη και ελθων επ αυτην ουδεν ευρεν ει μη φυλλα ου γαρ ην καιρος συκων <i>13. kai idon suken makrothen

echoυsan fυlla elthen ei ara eυresei ti en aυte kai
elthon ep aυten oυden eυren ei me fυlla oυ gar
en kairos sυkon</i>

East Original

14 καὶ ἀποκριθεὶς εἶπεν αὐτῇ· Μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι. καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ.

Textus Receptus

14. και αποκριθεις ο ιησους ειπεν αυτη μηκετι εκ σου εις τον αιωνα μηδεις καρπον φαγοι και ηκουον οι μαθηται αυτου <i>14. kai apokritheis o iesoυs eipen aυte meketi ek soυ eis ton aiona medeis karpon fagoi kai ekoυon oi mathetai aυtoυ</i>

East Original

15 Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα· καὶ εἰσελθὼν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ τοὺς ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψε,

Textus Receptus

15. και ερχονται εις ιεροσολυμα και εισελθων ο ιησους εις το ιερον ηρξατο εκβαλλειν τους πωλουντας και αγοραζοντας εν τω ιερω και τας τραπεζας των κολλυβιστων και τας καθεδρας των πωλουντων τας περιστερας κατεστρεψεν <i>15. kai erchontai eis ierosolυma kai eiselthon o iesoυs eis to ieron erksato ekβallein toυs poloυntas kai agorazontas en to iero kai tas trapezas ton kollυβiston kai tas kathedras ton poloυnton tas peristeras katestrepsen</i>

East Original

16 καὶ οὐκ ἤφιεν ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ,

Textus Receptus

16. και ουκ ηφιεν ινα τις διενεγκη σκευος δια του ιερου <i>16. kai oυk efien ina tis dienegke skeυos dia toυ ieroυ</i>

East Original

17 καὶ ἐδίδασκε λέγων αὐτοῖς· Οὐ γέγραπται ὅτι ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν; ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.

Textus Receptus

17. και εδιδασκεν λεγων αυτοις ου γεγραπται οτι ο οικος μου οικος προσευχης κληθησεται πασιν τοις εθνεσιν υμεις δε εποιησατε αυτον σπηλαιον ληστων <i>17. kai edidasken legon autois ou gegraptai oti o oikos mou oikos proseuches klethesetai pasin tois ethnesin umeis de epoiesate auton spelaion leston</i>

East Original

18 καὶ ἤκουσαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσουσιν· ἐφοβοῦντο γὰρ αὐτόν, ὅτι πᾶς ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

Textus Receptus

18. και ηκουσαν οι γραμματεις και οι αρχιερεις και εζητουν πως αυτον απολεσουσιν εφοβουντο γαρ αυτον οτι πας ο οχλος εξεπλησσετο επι τη διδαχη αυτου <i>18. kai ekousan oi grammateis kai oi archiereis kai ezetoun pos auton apolesousin efoβounto gar auton oti pas o ochlos ekseplesseto epi te didache autou</i>

East Original

19 Καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορεύοντο ἔξω τῆς πόλεως.

Textus Receptus

19. και οτε οψε εγενετο εξεπορευετο εξω της πολεως <i>19. kai ote opse egeneto ekseporeueto ekso tes poleos</i>

East Original

20 Καὶ παραπορευόμενοι πρωῒ εἶδον τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν.

Textus Receptus

20. και πρωι παραπορευομενοι ειδον την συκην εξηραμμενην εκ ριζων <i>20. kai proi paraporeuomenoi eidon ten suken ekserammenen ek rizon</i>

East Original

21 καὶ ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ·

Textus Receptus

21. και αναμνησθεις ο πετρος λεγει αυτω

Ραββί, ἴδε ἡ συκῆ ἣν κατηράσω ἐξήρανται.

ραββι ιδε η συκη ην κατηρασω εξηρανται <i>21. kai anamnestheis o petros legei auto raββi ide e suke en kateraso ekserantai</i>

East Original

22 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς λέγει αὐτοῖς· ἔχετε πίστιν Θεοῦ.

Textus Receptus

22. και αποκριθεις ιησους λεγει αυτοις εχετε πιστιν θεου <i>22. kai apokritheis iesous legei autois echete pistin theou</i>

East Original

23 ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ ὅτι ἃ λέγει γίνεται, ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ.

Textus Receptus

23. αμην γαρ λεγω υμιν οτι ος αν ειπη τω ορει τουτω αρθητι και βληθητι εις την θαλασσαν και μη διακριθη εν τη καρδια αυτου αλλα πιστευση οτι α λεγει γινεται εσται αυτω ο εαν ειπη <i>23. amen gar lego umin oti os an eipe to orei touto artheti kai βletheti eis ten thalassan kai me diakrithe en te kardia autou alla pisteuse oti a legei ginetai estai auto o ean eipe</i>

East Original

24 διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε, καὶ ἔσται ὑμῖν.

Textus Receptus

24. δια τουτο λεγω υμιν παντα οσα αν προσευχομενοι αιτεισθε πιστευετε οτι λαμβανετε και εσται υμιν <i>24. dia touto lego umin panta osa an proseuchomenoi aiteisthe pisteuete oti lamβanete kai estai umin</i>

East Original

25 καὶ ὅταν στήκετε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν.

Textus Receptus

25. και οταν στηκητε προσευχομενοι αφιετε ει τι εχετε κατα τινος ινα και ο πατηρ υμων ο εν τοις ουρανοις αφη υμιν τα παραπτωματα υμων <i>25. kai otan stekete proseuchomenoi

afiete ei ti echete kata tinos ina kai o pater υmon o en tois oυranois afe υmin ta paraptomata υmon</i>

East Original 26 εἴ δὲ ὑμεῖς οὐκ ἀφίετε, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

Textus Receptus 26. ει δε υμεις ουκ αφιετε ουδε ο πατηρ υμων ο εν τοις ουρανοις αφησει τα παραπτωματα υμων <i>26. ei de υmeis oυk afiete oυde o pater υmon o en tois oυranois afesei ta paraptomata υmon</i>

East Original 27 Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα· καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι

Textus Receptus 27. και ερχονται παλιν εις ιεροσολυμα και εν τω ιερω περιπατουντος αυτου ερχονται προς αυτον οι αρχιερεις και οι γραμματεις και οι πρεσβυτεροι <i>27. kai erchontai palin eis ierosolυma kai en to iero peripatoυntos aυtoυ erchontai pros aυton oi archiereis kai oi grammateis kai oi presβυteroi</i>

East Original 28 καὶ λέγουσιν αὐτῷ· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἢ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην ἵνα ταῦτα ποιῇς;

Textus Receptus 28. και λεγουσιν αυτω εν ποια εξουσια ταυτα ποιεις και τις σοι την εξουσιαν ταυτην εδωκεν ινα ταυτα ποιης <i>28. kai legoυsin aυto en poia eksoυsia taυta poieis kai tis soi ten eksoυsian taυten edoken ina taυta poies</i>

East Original 29 ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ἐπερωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ

Textus Receptus 29. ο δε ιησους αποκριθεις ειπεν αυτοις επερωτησω υμας καγω ενα λογον και αποκριθητε μοι και ερω υμιν εν ποια εξουσια

ἐξουσίᾳ ταῦτα ποιῶ.

ταυτα ποιω <i>29. o de iesoυs apokritheis eipen aυtois eperoteso υmas kago ena logon kai apokrithete moi kai ero υmin en poia eksoυsia taυta poio</i>

East Original

30 τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων; ἀποκρίθητέ μοι.

Textus Receptus

30. το βαπτισμα ιωαννου εξ ουρανου ην η εξ ανθρωπων αποκριθητε μοι <i>30. to βaptisma ioannoυ eks oυranoυ en e eks anthropon apokrithete moi</i>

East Original

31 καὶ ἐλογίζοντο πρὸς ἑαυτοὺς λέγοντες· Ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ· διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ;

Textus Receptus

31. και ελογιζοντο προς εαυτους λεγοντες εαν ειπωμεν εξ ουρανου ερει δια τι ουν ουκ επιστευσατε αυτω <i>31. kai elogizonto pros eaυtoυs legontes ean eipomen eks oυranoυ erei dia ti oυn oυk episteυsate aυto</i>

East Original

32 ἀλλὰ εἴπωμεν, ἐξ ἀνθρώπων; - ἐφοβοῦντο τὸν λαόν· ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην ὅτι προφήτης ἦν.

Textus Receptus

32. αλλ εαν ειπωμεν εξ ανθρωπων εφοβουντο τον λαον απαντες γαρ ειχον τον ιωαννην οτι οντως προφητης ην <i>32. all ean eipomen eks anthropon efoβoυnto ton laon apantes gar eichon ton ioannen oti ontos profetes en</i>

East Original

33 καὶ ἀποκριθέντες λέγουσι τῷ Ἰησοῦ· Οὐκ οἴδαμεν. καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς λέγει αὐτοῖς· Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

Textus Receptus

33. και αποκριθεντες λεγουσιν τω ιησου ουκ οιδαμεν και ο ιησους αποκριθεις λεγει αυτοις ουδε εγω λεγω υμιν εν ποια εξουσια ταυτα ποιω <i>33. kai apokrithentes legoυsin to iesoυ oυk oidamen kai o iesoυs apokritheis legei

αυtois ουde ego lego υmin en poia eksoυsia tauta poio</i>

## Κεφάλαιο 12

East Original

1 Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέγειν· Ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος, καὶ περιέθηκε φραγμὸν καὶ ὤρυξεν ὑπολήνιον καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδετο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησε.

Textus Receptus

1. και ηρξατο αυτοις εν παραβολαις λεγειν αμπελωνα εφυτευσεν ανθρωπος και περιεθηκεν φραγμον και ωρυξεν υποληνιον και ωκοδομησεν πυργον και εξεδοτο αυτον γεωργοις και απεδημησεν <i>1. kai erksato aυtois en paraβolais legein ampelona efυteυsen anthropos kai perietheken fragmon kai orυksen υpolenion kai okodomesen pυrgon kai eksedoto aυton georgois kai apedemesen</i>

East Original

2 καὶ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος.

Textus Receptus

2. και απεστειλεν προς τους γεωργους τω καιρω δουλον ινα παρα των γεωργων λαβη απο του καρπου του αμπελωνος <i>2. kai apesteilen pros toυs georgoυs to kairo doυlon ina para ton georgon laβe apo toυ karpoυ toυ ampelonos</i>

East Original

3 καὶ λαβόντες αὐτὸν ἔδειραν καὶ ἀπέστειλαν κενόν.

Textus Receptus

3. οι δε λαβοντες αυτον εδειραν και απεστειλαν κενον <i>3. oi de laβontes aυton edeiran kai apesteilan kenon</i>

East Original

4 καὶ πάλιν ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦλον· κἀκεῖνον λιθοβολήσαντες ἐκεφαλαίωσαν καὶ ἀπέστειλαν ἠτιμωμένον.

Textus Receptus

4. και παλιν απεστειλεν προς αυτους αλλον δουλον κακεινον λιθοβολησαντες εκεφαλαιωσαν και απεστειλαν ητιμωμενον <i>4. kai palin apesteilen pros aυtoυs allon doυlon kakeinon lithoβolesantes ekefalaiosan kai apesteilan etimomenon</i>

East Original

5 καὶ πάλιν ἄλλον ἀπέστειλε· κἀκεῖνον ἀπέκτειναν, καὶ πολλοὺς μὲν ἄλλους, οὓς μὲν δέροντες, οὓς δὲ ἀποκτέννοντες.

Textus Receptus

5. και παλιν αλλον απεστειλεν κακεινον απεκτειναν και πολλους αλλους τους μεν δεροντες τους δε αποκτεινοντες <i>5. kai palin allon apesteilen kakeinon apekteinan kai polloυs alloυs toυs men derontes toυs de apokteinontes</i>

East Original

6 ἔτι οὖν ἕνα υἱὸν ἔχων, ἀγαπητόν αὐτοῦ, ἀπέστειλε καὶ αὐτὸν ἔσχατον πρὸς αὐτοὺς λέγων ὅτι ἐντραπήσονται τὸν υἱόν μου.

Textus Receptus

6. ετι ουν ενα υιον εχων αγαπητον αυτου απεστειλεν και αυτον προς αυτους εσχατον λεγων οτι εντραπησονται τον υιον μου <i>6. eti oυn ena υion echon agapeton aυtoυ apesteilen kai aυton pros aυtoυs eschaton legon oti entrapesontai ton υion moυ</i>

East Original

7 ἐκεῖνοι δὲ οἱ γεωργοὶ, θεασάμενοι αὐτόν ἐρχόμενον, πρὸς ἑαυτοὺς εἶπον ὅτι οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτόν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία.

Textus Receptus

7. εκεινοι δε οι γεωργοι ειπον προς εαυτους οτι ουτος εστιν ο κληρονομος δευτε αποκτεινωμεν αυτον και ημων εσται η κληρονομια <i>7. ekeinoi de oi georgoi eipon pros eaυtoυs oti oυtos estin o kleronomos deυte

apokteinomen aυton kai emon estai e
kleronomia</i>

East Original
8 καὶ λαβόντες ἀπέκτειναν αὐτόν καὶ
ἐξέβαλον αὐτὸν ἔξω τοῦ ἀμπελῶνος.

Textus Receptus
8. και λαβοντες αυτον απεκτειναν και
εξεβαλον εξω του αμπελωνος <i>8. kai
laβontes aυton apekteinan kai ekseβalon ekso
toυ ampelonos</i>

East Original
9 τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος;
ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς
τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις.

Textus Receptus
9. τι ουν ποιησει ο κυριος του αμπελωνος
ελευσεται και απολεσει τους γεωργους και
δωσει τον αμπελωνα αλλοις <i>9. ti oυn
poiesei o kυrios toυ ampelonos eleυsetai kai
apolesei toυs georgoυs kai dosei ton ampelona
allois</i>

East Original
10 οὐδὲ τὴν γραφὴν ταύτην ἀνέγνωτε,
λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες,
οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας·

Textus Receptus
10. ουδε την γραφην ταυτην ανεγνωτε λιθον
ον απεδοκιμασαν οι οικοδομουντες ουτος
εγενηθη εις κεφαλην γωνιας <i>10. oυde ten
grafen taυten anegnote lithon on apedokimasan
oi oikodomoυntes oυtos egenethe eis kefalen
gonias</i>

East Original
11 παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι
θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;

Textus Receptus
11. παρα κυριου εγενετο αυτη και εστιν
θαυμαστη εν οφθαλμοις ημων <i>11. para
kυrioυ egeneto aυte kai estin thaυmaste en
ofthalmois emon</i>

East Original
12 Καὶ ἐζήτουν αὐτὸν κρατῆσαι, καὶ

Textus Receptus
12. και εζητουν αυτον κρατησαι και

ἐφοβήθησαν τὸν ὄχλον· ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπε. καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

εφοβηθησαν τον οχλον εγνωσαν γαρ οτι προς αυτους την παραβολην ειπεν και αφεντες αυτον απηλθον <i>12. kai ezetoun auton kratesai kai efoβethesan ton ochlon egnosan gar oti pros autous ten paraβolen eipen kai afentes auton apelthon</i>

East Original

13 Καὶ ἀποστέλλουσι πρὸς αὐτόν τινας τῶν Φαρισαίων καὶ τῶν Ἡρῳδιανῶν ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ.

Textus Receptus

13. και αποστελλουσιν προς αυτον τινας των φαρισαιων και των ηρωδιανων ινα αυτον αγρευσωσιν λογω <i>13. kai apostellousin pros auton tinas ton farisaion kai ton erodianon ina auton agreusosin logo</i>

East Original

14 οἱ δὲ ἐλθόντες λέγουσιν αὐτῷ· Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις. εἶπον οὖν ἡμῖν· ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ; δῶμεν ἢ μὴ δῶμεν;

Textus Receptus

14. οι δε ελθοντες λεγουσιν αυτω διδασκαλε οιδαμεν οτι αληθης ει και ου μελει σοι περι ουδενος ου γαρ βλεπεις εις προσωπον ανθρωπων αλλ επ αληθειας την οδον του θεου διδασκεις εξεστιν κηνσον καισαρι δουναι η ου <i>14. oi de elthontes legousin auto didaskale oidamen oti alethes ei kai ou melei soi peri oudenos ou gar βlepeis eis prosopon anthropon all ep aletheias ten odon tou theou didaskeis eksestin kenson kaisari dounai e ou</i>

East Original

15 ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν εἶπεν

Textus Receptus

15. δωμεν η μη δωμεν ο δε ειδως αυτων την

αὐτοῖς· Τί με πειράζετε; φέρετέ μοι δηνάριον ἵνα ἴδω.

υποκρισιν ειπεν αυτοις τι με πειραζετε φερετε μοι δηναριον ινα ιδω <i>15. domen e me domen o de eidos auton ten υpokrisin eipen autois ti me peirazete ferete moi denarion ina ido</i>

East Original

16 οἱ δὲ ἤνεγκαν. καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; οἱ δὲ εἶπον· Καίσαρος.

Textus Receptus

16. οι δε ηνεγκαν και λεγει αυτοις τινος η εικων αυτη και η επιγραφη οι δε ειπον αυτω καισαρος <i>16. oi de enegkan kai legei autois tinos e eikon aute kai e epigrafe oi de eipon auto kaisaros</i>

East Original

17 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. καὶ ἐξεθαύμασαν ἐπ’ αὐτῷ.

Textus Receptus

17. και αποκριθεις ο ιησους ειπεν αυτοις αποδοτε τα καισαρος καισαρι και τα του θεου τω θεω και εθαυμασαν επ αυτω <i>17. kai apokritheis o iesoυs eipen aυtois apodote ta kaisaros kaisari kai ta toυ theoυ to theo kai ethaυmasan ep auto</i>

East Original

18 Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν, οἵτινες λέγουσιν ἀνάστασιν μὴ εἶναι, καὶ ἐπηρώτων αὐτὸν λέγοντες·

Textus Receptus

18. και ερχονται σαδδουκαιοι προς αυτον οιτινες λεγουσιν αναστασιν μη ειναι και επηρωτησαν αυτον λεγοντες <i>18. kai erchontai saddoυkaioi pros aυton oitines legoυsin anastasin me einai kai eperotesan aυton legontes</i>

East Original

19 Διδάσκαλε, Μωϋσῆς ἔγραψεν ἡμῖν ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ καὶ καταλίπῃ

Textus Receptus

19. διδασκαλε μωσης εγραψεν ημιν οτι εαν τινος αδελφος αποθανη και καταλιπη

γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.

γυναικα και τεκνα μη αφη ινα λαβη ο αδελφος αυτου την γυναικα αυτου και εξαναστηση σπερμα τω αδελφω αυτου <i>19. didaskale moses egrapsen emin oti ean tinos adelfos apothane kai katalipe gυnaika kai tekna me afe ina laβe o adelfos aυtoυ ten gυnaika aυtoυ kai eksanastese sperma to adelfo aυtoυ</i>

East Original

20 ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν. καὶ ὁ πρῶτος ἔλαβε γυναῖκα, καὶ ἀποθνῄσκων οὐκ ἀφῆκε σπέρμα.

Textus Receptus

20. επτα {VAR2: ουν } αδελφοι ησαν και ο πρωτος ελαβεν γυναικα και αποθνησκων ουκ αφηκεν σπερμα <i>20. epta {VAR2: oυn } adelfoi esan kai o protos elaβen gυnaika kai apothneskon oυk afeken sperma</i>

East Original

21 καὶ ὁ δεύτερος ἔλαβεν αὐτήν, καὶ ἀπέθανε καὶ οὐδὲ αὐτὸς οὐκ ἀφῆκε σπέρμα. καὶ ὁ τρίτος ὡσαύτως.

Textus Receptus

21. και ο δευτερος ελαβεν αυτην και απεθανεν και ουδε αυτος αφηκεν σπερμα και ο τριτος ωσαυτως <i>21. kai o deυteros elaβen aυten kai apethanen kai oυde aυtos afeken sperma kai o tritos osaυtos</i>

East Original

22 καὶ ἔλαβον αὐτήν οἱ ἑπτὰ, καὶ οὐκ ἀφῆκαν σπέρμα. ἐσχάτη πάντων ἀπέθανε καὶ ἡ γυνὴ.

Textus Receptus

22. και ελαβον αυτην οι επτα και ουκ αφηκαν σπερμα εσχατη παντων απεθανεν και η γυνη <i>22. kai elaβon aυten oi epta kai oυk afekan sperma eschate panton apethanen kai e gυne</i>

East Original

23 ἐν τῇ οὖν ἀναστάσει, ὅταν ἀναστῶσι,

Textus Receptus

23. εν τη ουν αναστασει οταν αναστωσιν

τίνος αὐτῶν ἔσται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα.

τινος αυτων εσται γυνη οι γαρ επτα εσχον αυτην γυναικα <i>23. en te oυn anastasei otan anastosin tinos aυton estai gυne oi gar epta eschon aυten gυnaika</i>

East Original

24 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ;

Textus Receptus

24. και αποκριθεις ο ιησους ειπεν αυτοις ου δια τουτο πλανασθε μη ειδοτες τας γραφας μηδε την δυναμιν του θεου <i>24. kai apokritheis o iesoυs eipen aυtois oυ dia toυto planasthe me eidotes tas grafas mede ten dυnamin toυ theoυ</i>

East Original

25 ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ’ εἰσὶν ὡς ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς.

Textus Receptus

25. οταν γαρ εκ νεκρων αναστωσιν ουτε γαμουσιν ουτε γαμισκονται αλλ εισιν ως αγγελοι οι εν τοις ουρανοις <i>25. otan gar ek nekron anastosin oυte gamoυsin oυte gamiskontai all eisin os aggeloi oi en tois oυranois</i>

East Original

26 περὶ δὲ τῶν νεκρῶν ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωϋσέως, ἐπὶ τοῦ βάτου πῶς εἶπεν αὐτῷ ὁ Θεὸς λέγων, ἐγὼ ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ;

Textus Receptus

26. περι δε των νεκρων οτι εγειρονται ουκ ανεγνωτε εν τη βιβλω μωσεως επι της βατου ως ειπεν αυτω ο θεος λεγων εγω ο θεος αβρααμ και ο θεος ισαακ και ο θεος ιακωβ <i>26. peri de ton nekron oti egeirontai oυk anegnote en te βiβlo moseos epi tes βatoυ os eipen aυto o theos legon ego o theos aβraam kai

o theos isaak kai o theos iakoβ</i>

East Original

27 οὐκ ἔστιν ὁ Θεὸς νεκρῶν, ἀλλὰ ζώντων· ὑμεῖς οὖν πολὺ πλανᾶσθε.

Textus Receptus

27. ουκ εστιν ο θεος νεκρων αλλα θεος ζωντων υμεις ουν πολυ πλανασθε <i>27. ouk estin o theos nekron alla theos zonton υmeis oυn polυ planasthe</i>

East Original

28 Καὶ προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας αὐτῶν συζητούντων, ἰδὼν ὅτι καλῶς αὐτοῖς ἀπεκρίθη, ἐπηρώτησεν αὐτόν· Ποία ἐστὶ πρώτη πάντων ἐντολὴ;

Textus Receptus

28. και προσελθων εις των γραμματεων ακουσας αυτων συζητουντων ειδως οτι καλως αυτοις απεκριθη επηρωτησεν αυτον ποια εστιν πρωτη πασων εντολη <i>28. kai proselthon eis ton grammateon akoυsas aυton sυzetoυnton eidos oti kalos aυtois apekrithe eperotesen aυton poia estin prote pason entole</i>

East Original

29 ὁ δὲ Ἰησοῦς ἀπεκρίθη αὐτῷ ὅτι Πρώτη πάντων ἐντολὴ· ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεὸς ἡμῶν Κύριος εἷς ἐστι·

Textus Receptus

29. ο δε ιησους απεκριθη αυτω οτι πρωτη πασων των εντολων ακουε ισραηλ κυριος ο θεος ημων κυριος εις εστιν <i>29. o de iesoυs apekrithe aυto oti prote pason ton entolon akoυe israel kυrios o theos emon kυrios eis estin</i>

East Original

30 καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου. αὕτη πρώτη

Textus Receptus

30. και αγαπησεις κυριον τον θεον σου εξ ολης της καρδιας σου και εξ ολης της ψυχης σου και εξ ολης της διανοιας σου και εξ ολης της ισχυος σου αυτη πρωτη εντολη <i>30. kai

ἐντολὴ·

agapeseis kυrion ton theon soυ eks oles tes kardias soυ kai eks oles tes psυches soυ kai eks oles tes dianoias soυ kai eks oles tes ischυos soυ aυte prote entole</i>

East Original

31 καὶ δευτέρα ὁμοία, αὕτη· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστι.

Textus Receptus

31. και δευτερα ομοια αυτη αγαπησεις τον πλησιον σου ως σεαυτον μειζων τουτων αλλη εντολη ουκ εστιν <i>31. kai deυtera omoia aυte agapeseis ton plesion soυ os seaυton meizon toυton alle entole oυk estin</i>

East Original

32 καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς· Καλῶς, διδάσκαλε, ἐπ’ ἀληθείας εἶπας ὅτι εἷς ἐστι καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ·

Textus Receptus

32. και ειπεν αυτω ο γραμματευς καλως διδασκαλε επ αληθειας ειπας οτι εις εστιν θεος και ουκ εστιν αλλος πλην αυτου <i>32. kai eipen aυto o grammateυs kalos didaskale ep aletheias eipas oti eis estin theos kai oυk estin allos plen aυtoυ</i>

East Original

33 καὶ τὸ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς συνέσεως καὶ ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν πλεῖόν ἐστι πάντων τῶν ὁλοκαυτωμάτων καὶ θυσιῶν.

Textus Receptus

33. και το αγαπαν αυτον εξ ολης της καρδιας και εξ ολης της συνεσεως και εξ ολης της ψυχης και εξ ολης της ισχυος και το αγαπαν τον πλησιον ως εαυτον πλειον εστιν παντων των ολοκαυτωματων και των θυσιων <i>33. kai to agapan aυton eks oles tes kardias kai eks oles tes sυneseos kai eks oles tes psυches kai eks oles tes ischυos kai to agapan ton plesion os

eaυton pleion estin panton ton olokaυtomaton kai ton thυsion</i>

East Original

34 καὶ ὁ Ἰησοῦς ἰδὼν ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ. καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι.

Textus Receptus

34. και ο ιησους ιδων αυτον οτι νουνεχως απεκριθη ειπεν αυτω ου μακραν ει απο της βασιλειας του θεου και ουδεις ουκετι ετολμα αυτον επερωτησαι <i>34. kai o iesoυs idon aυton oti noυnechos apekrithe eipen aυto oυ makran ei apo tes βasileias toυ theoυ kai oυdeis oυketi etolma aυton eperotesai</i>

East Original

35 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε διδάσκων ἐν τῷ ἱερῷ· Πῶς λέγουσιν οἱ γραμματεῖς ὅτι ὁ Χριστὸς υἱὸς Δαυῒδ ἐστι;

Textus Receptus

35. και αποκριθεις ο ιησους ελεγεν διδασκων εν τω ιερω πως λεγουσιν οι γραμματεις οτι ο χριστος υιος εστιν δαβιδ <i>35. kai apokritheis o iesoυs elegen didaskon en to iero pos legoυsin oi grammateis oti o christos υios estin daβid</i>

East Original

36 αὐτὸς γὰρ Δαυῒδ εἶπεν ἐν Πνεύματι ἁγίῳ· λέγει ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Textus Receptus

36. αυτος γαρ δαβιδ ειπεν εν τω πνευματι τω αγιω ειπεν ο κυριος τω κυριω μου καθου εκ δεξιων μου εως αν θω τους εχθρους σου υποποδιον των ποδων σου <i>36. aυtos gar daβid eipen en to pneυmati to agio eipen o kυrios to kυrio moυ kathoυ ek deksion moυ eos an tho toυs echthroυs soυ υpopodion ton podon soυ</i>

East Original

37 αὐτὸς οὖν Δαυῒδ λέγει αὐτὸν Κύριον·

Textus Receptus

37. αυτος ουν δαβιδ λεγει αυτον κυριον και

καὶ πόθεν υἱός αὐτοῦ ἐστι; καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως.

ποθεν υιος αυτου εστιν και ο πολυς οχλος ηκουεν αυτου ηδεως <i>37. aυtos oυn daβid legei aυton kυrion kai pothen υios aυtoυ estin kai o polυs ochlos ekoυen aυtoυ edeos</i>

East Original

38 Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· Βλέπετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων ἐν στολαῖς περιπατεῖν καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς

Textus Receptus

38. και ελεγεν αυτοις εν τη διδαχη αυτου βλεπετε απο των γραμματεων των θελοντων εν στολαις περιπατειν και ασπασμους εν ταις αγοραις <i>38. kai elegen aυtois en te didache aυtoυ βlepete apo ton grammateon ton thelonton en stolais peripatein kai aspasmoυs en tais agorais</i>

East Original

39 καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις.

Textus Receptus

39. και πρωτοκαθεδριας εν ταις συναγωγαις και πρωτοκλισιας εν τοις δειπνοις <i>39. kai protokathedrias en tais sυnagogais kai protoklisias en tois deipnois</i>

East Original

40 οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι! οὗτοι λήψονται περισσότερον κρῖμα.

Textus Receptus

40. οι κατεσθιοντες τας οικιας των χηρων και προφασει μακρα προσευχομενοι ουτοι ληψονται περισσοτερον κριμα <i>40. oi katesthiontes tas oikias ton cheron kai profasei makra proseυchomenoi oυtoi lepsontai perissoteron krima</i>

East Original

41 Καὶ καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου ἐθεώρει πῶς ὁ ὄχλος

Textus Receptus

41. και καθισας ο ιησους κατεναντι του γαζοφυλακιου εθεωρει πως ο οχλος βαλλει

βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον.

χαλκον εις το γαζοφυλακιον και πολλοι πλουσιοι εβαλλον πολλα <i>41. kai kathisas o iesous katenanti tou gazofulakiou etheorei pos o ochlos βallei chalkon eis to gazofulakion kai polloi plousioi eβallon polla</i>

East Original

42 καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλά· καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλε λεπτὰ δύο, ὅ ἐστι κοδράντης.

Textus Receptus

42. και ελθουσα μια χηρα πτωχη εβαλεν λεπτα δυο ο εστιν κοδραντης <i>42. kai elthousa mia chera ptoche eβalen lepta duo o estin kodrantes</i>

East Original

43 καὶ προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλε τῶν βαλλόντων εἰς τὸ γαζοφυλάκιον·

Textus Receptus

43. και προσκαλεσαμενος τους μαθητας αυτου λεγει αυτοις αμην λεγω υμιν οτι η χηρα αυτη η πτωχη πλειον παντων βεβληκεν των βαλοντων εις το γαζοφυλακιον <i>43. kai proskalesamenos tous mathetas autou legei autois amen lego umin oti e chera aute e ptoche pleion panton βeβleken ton βalonton eis to gazofulakion</i>

East Original

44 πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον· αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς.

Textus Receptus

44. παντες γαρ εκ του περισσευοντος αυτοις εβαλον αυτη δε εκ της υστερησεως αυτης παντα οσα ειχεν εβαλεν ολον τον βιον αυτης <i>44. pantes gar ek tou perisseuontos autois eβalon aute de ek tes ustereseos autes panta osa eichen eβalen olon ton βion autes</i>

Κεφάλαιο 13

East Original

1 Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ· Διδάσκαλε, ἴδε ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί.

Textus Receptus

1. και εκπορευομενου αυτου εκ του ιερου λεγει αυτω εις των μαθητων αυτου διδασκαλε ιδε ποταποι λιθοι και ποταπαι οικοδομαι <i>1. kai ekporeuomenou autou ek tou ierou legei auto eis ton matheton autou didaskale ide potapoi lithoi kai potapai oikodomai</i>

East Original

2 καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτῷ· Βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς; οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον ὃς οὐ μὴ καταλυθῇ.

Textus Receptus

2. και ο ιησους αποκριθεις ειπεν αυτω βλεπεις ταυτας τας μεγαλας οικοδομας ου μη αφεθη λιθος επι λιθω ος ου μη καταλυθη <i>2. kai o iesous apokritheis eipen auto βlepeis tautas tas megalas oikodomas ou me afethe lithos epi litho os ou me kataluthe</i>

East Original

3 Καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, ἐπηρώτων αὐτὸν κατ' ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας·

Textus Receptus

3. και καθημενου αυτου εις το ορος των ελαιων κατεναντι του ιερου επηρωτων αυτον κατ ιδιαν πετρος και ιακωβος και ιωαννης και ανδρεας <i>3. kai kathemenou autou eis to oros ton elaion katenanti tou ierou eperoton auton kat idian petros kai iakoβos kai ioannes kai andreas</i>

East Original

4 Εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται, καὶ τί τὸ

Textus Receptus

4. ειπε ημιν ποτε ταυτα εσται και τι το

σημεῖον ὅταν μέλλῃ πάντα ταῦτα συντελεῖσθαι;

σημειον οταν μελλη παντα ταυτα συντελεισθαι <i>4. eipe emin pote tauta estai kai ti to semeion otan melle panta tauta sunteleisthai</i>

East Original

5 ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς ἤρξατο λέγειν αὐτοῖς· Βλέπετε μή τις ὑμᾶς πλανήσῃ.

Textus Receptus

5. ο δε ιησους αποκριθεις αυτοις ηρξατο λεγειν βλεπετε μη τις υμας πλανηση <i>5. o de iesous apokritheis autois erksato legein βlepete me tis umas planese</i>

East Original

6 πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι ἐγώ εἰμι, καὶ πολλοὺς πλανήσουσιν.

Textus Receptus

6. πολλοι γαρ ελευσονται επι τω ονοματι μου λεγοντες οτι εγω ειμι και πολλους πλανησουσιν <i>6. polloi gar eleusontai epi to onomati mou legontes oti ego eimi kai pollous planesousin</i>

East Original

7 ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων, μὴ θροεῖσθε· δεῖ γὰρ γενέσθαι, ἀλλ’ οὔπω τὸ τέλος.

Textus Receptus

7. οταν δε ακουσητε πολεμους και ακοας πολεμων μη θροεισθε δει γαρ γενεσθαι αλλ ουπω το τελος <i>7. otan de akousete polemous kai akoas polemon me throeisthe dei gar genesthai all oupo to telos</i>

East Original

8 ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται σεισμοὶ κατὰ τόπους, καὶ ἔσονται λιμοὶ καὶ ταραχαί.

Textus Receptus

8. εγερθησεται γαρ εθνος επι εθνος και βασιλεια επι βασιλειαν και εσονται σεισμοι κατα τοπους και εσονται λιμοι και ταραχαι αρχαι ωδινων ταυτα <i>8. egerthesetai gar ethnos epi ethnos kai βasileia epi βasileian kai

esontai seismoi kata topous kai esontai limoi kai tarachai archai odinon tauta</i>

East Original

9 ἀρχαὶ ὠδίνων ταῦτα. Βλέπετε δὲ ὑμεῖς ἑαυτούς. παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν δαρήσεσθε, καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων σταθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς·

Textus Receptus

9. βλεπετε δε υμεις εαυτους παραδωσουσιν γαρ υμας εις συνεδρια και εις συναγωγας δαρησεσθε και επι ηγεμονων και βασιλεων {VAR1: σταθησεσθε } {VAR2: αχθησεσθε } ενεκεν εμου εις μαρτυριον αυτοις <i>9. βlepete de υmeis eaυtoυs paradosoυsin gar υmas eis sυnedria kai eis sυnagogas daresesthe kai epi egemonon kai βasileon {VAR1: stathesesthe } {VAR2: achthesesthe } eneken emoυ eis martυrion aυtois</i>

East Original

10 καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον κηρυχθῆναι τὸ εὐαγγέλιον.

Textus Receptus

10. και εις παντα τα εθνη δει πρωτον κηρυχθηναι το ευαγγελιον <i>10. kai eis panta ta ethne dei proton kerυchthenai to eυaggelion</i>

East Original

11 ὅταν δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε τί λαλήσητε, μηδὲ μελετᾶτε, ἀλλ᾽ ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε· οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον.

Textus Receptus

11. οταν δε αγαγωσιν υμας παραδιδοντες μη προμεριμνατε τι λαλησητε μηδε μελετατε αλλ ο εαν δοθη υμιν εν εκεινη τη ωρα τουτο λαλειτε ου γαρ εστε υμεις οι λαλουντες αλλα το πνευμα το αγιον <i>11. otan de agagosin υmas paradidontes me promerimnate ti lalesete mede meletate all o ean dothe υmin en ekeine te

ora toυto laleite oυ gar este υmeis oi laloυntes alla to pneυma to agion</i>

East Original 12 παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς.

Textus Receptus 12. παραδωσει δε αδελφος αδελφον εις θανατον και πατηρ τεκνον και επαναστησονται τεκνα επι γονεις και θανατωσουσιν αυτους <i>12. paradosei de adelfos adelfon eis thanaton kai pater teknon kai epanastesontai tekna epi goneis kai thanatosoυsin aυtoυs</i>

East Original 13 καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Textus Receptus 13. και εσεσθε μισουμενοι υπο παντων δια το ονομα μου ο δε υπομεινας εις τελος ουτος σωθησεται <i>13. kai esesthe misoυmenoi υpo panton dia to onoma moυ o de υpomeinas eis telos oυtos sothesetai</i>

East Original 14 Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου ἑστὼς ὅπου οὐ δεῖ - ὁ ἀναγινώσκων νοείτω - τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη,

Textus Receptus 14. οταν δε ιδητε το βδελυγμα της ερημωσεως το ρηθεν υπο δανιηλ του προφητου {VAR1: εστος } {VAR2: εστως } οπου ου δει ο αναγινωσκων νοειτω τοτε οι εν τη ιουδαια φευγετωσαν εις τα ορη <i>14. otan de idete to βdelυgma tes eremoseos to rethen υpo daniel toυ profetoυ {VAR1: estos } {VAR2: estos } opoυ oυ dei o anaginoskon noeito tote oi en te ioυdaia feυgetosan eis ta ore</i>

| | | | |
|---|---|---|---|
| East Original | 15 ὁ δὲ ἐπὶ τοῦ δώματος μὴ καταβάτω εἰς τὴν οἰκίαν μηδὲ εἰσελθέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, | Textus Receptus | 15. ο δε επι του δωματος μη καταβατω εις την οικιαν μηδε εισελθετω αραι τι εκ της οικιας αυτου <i>15. o de epi tou domatos me kataβato eis ten oikian mede eiseltheto arai ti ek tes oikias autou</i> |
| East Original | 16 καὶ ὁ εἰς τὸν ἀγρὸν ὢν μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. | Textus Receptus | 16. και ο εις τον αγρον ων μη επιστρεψατω εις τα οπισω αραι το ιματιον αυτου <i>16. kai o eis ton agron on me epistrepsato eis ta opiso arai to imation autou</i> |
| East Original | 17 οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. | Textus Receptus | 17. ουαι δε ταις εν γαστρι εχουσαις και ταις θηλαζουσαις εν εκειναις ταις ημεραις <i>17. ouai de tais en gastri echousais kai tais thelazousais en ekeinais tais emerais</i> |
| East Original | 18 προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος. | Textus Receptus | 18. προσευχεσθε δε ινα μη γενηται η φυγη υμων χειμωνος <i>18. proseuchesthe de ina me genetai e fuge umon cheimonos</i> |
| East Original | 19 ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις, οἵα οὐ γέγονε τοιαύτη ἀπ' ἀρχῆς κτίσεως ἧς ἔκτισεν ὁ Θεὸς ἕως τοῦ νῦν καὶ οὐ μὴ γένηται. | Textus Receptus | 19. εσονται γαρ αι ημεραι εκειναι θλιψις οια ου γεγονεν τοιαυτη απ αρχης κτισεως ης εκτισεν ο θεος εως του νυν και ου μη γενηται <i>19. esontai gar ai emerai ekeinai thlipsis oia ou gegonen toiaute ap arches ktiseos es ektisen o theos eos tou nun kai ou me genetai</i> |
| East Original | 20 καὶ εἰ μὴ ἐκολόβωσε Κύριος τὰς | Textus Receptus | 20. και ει μη κυριος εκολοβωσεν τας ημερας |

ἡμέρας οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· ἀλλὰ
διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο
ἐκολόβωσε τὰς ἡμέρας.

ουκ αν εσωθη πασα σαρξ αλλα δια τους
εκλεκτους ους εξελεξατο εκολοβωσεν τας
ημερας <i>20. kai ei me kυrios ekoloβosen tas
emeras oυk an esothe pasa sarks alla dia toυs
eklektoυs oυs ekseleksato ekoloβosen tas
emeras</i>

East Original
21 καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ
Χριστός, ἰδοὺ ἐκεῖ, μὴ πιστεύετε.

Textus Receptus
21. και τοτε εαν τις υμιν ειπη ιδου ωδε ο
χριστος η ιδου εκει μη πιστευσητε <i>21. kai
tote ean tis υmin eipe idoυ ode o christos e idoυ
ekei me pisteυsete</i>

East Original
22 ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ
ψευδοπροφῆται καὶ δώσουσι σημεῖα καὶ
τέρατα πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνατόν
καὶ τοὺς ἐκλεκτούς.

Textus Receptus
22. εγερθησονται γαρ ψευδοχριστοι και
ψευδοπροφηται και δωσουσιν σημεια και
τερατα προς το αποπλαναν ει δυνατον και
τους εκλεκτους <i>22. egerthesontai gar
pseυdochristoi kai pseυdoprofetai kai dosoυsin
semeia kai terata pros to apoplanan ei dυnaton
kai toυs eklektoυs</i>

East Original
23 ὑμεῖς δὲ βλέπετε· ἰδοὺ προείρηκα ὑμῖν
ἅπαντα.

Textus Receptus
23. υμεις δε βλεπετε ιδου προειρηκα υμιν
παντα <i>23. υmeis de βlepete idoυ proeireka
υmin panta</i>

East Original
24 Ἀλλ’ ἐν ἐκείναις ταῖς ἡμέραις, μετὰ τὴν
θλῖψιν ἐκείνην ὁ ἥλιος σκοτισθήσεται, καὶ
ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς,

Textus Receptus
24. αλλ εν εκειναις ταις ημεραις μετα την
θλιψιν εκεινην ο ηλιος σκοτισθησεται και η
σεληνη ου δωσει το φεγγος αυτης <i>24. all en

ekeinais tais emerais meta ten thlipsin ekeinen o elios skotisthesetai kai e selene ου dosei to feggos autes</i>

East Original

25 καὶ οἱ ἀστέρες ἔσονται ἐκ τοῦ οὐρανοῦ πίπτοντες, καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται.

Textus Receptus

25. και οι αστερες του ουρανου εσονται εκπιπτοντες και αι δυναμεις αι εν τοις ουρανοις σαλευθησονται <i>25. kai oi asteres tou ouranou esontai ekpiptontes kai ai dunameis ai en tois ouranois saleuthesontai</i>

East Original

26 καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως πολλῆς καὶ δόξης.

Textus Receptus

26. και τοτε οψονται τον υιον του ανθρωπου ερχομενον εν νεφελαις μετα δυναμεως πολλης και δοξης <i>26. kai tote opsontai ton uion tou anthropou erchomenon en nefelais meta dunameos polles kai dokses</i>

East Original

27 καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρου τῆς γῆς ἕως τοῦ οὐρανοῦ.

Textus Receptus

27. και τοτε αποστελει τους αγγελους αυτου και επισυναξει τους εκλεκτους αυτου εκ των τεσσαρων ανεμων απ ακρου γης εως ακρου ουρανου <i>27. kai tote apostelei tous aggelous autou kai episunaksei tous eklektous autou ek ton tessaron anemon ap akrou ges eos akrou ouranou</i>

East Original

28 Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν. ὅταν αὐτῆς ὁ κλάδος ἤδη γένηται ἁπαλὸς καὶ ἐκφύῃ τὰ φύλλα,

Textus Receptus

28. απο δε της συκης μαθετε την παραβολην οταν αυτης ηδη ο κλαδος απαλος γενηται και εκφυη τα φυλλα γινωσκετε οτι εγγυς το θερος

γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν·

εστιν <i>28. apo de tes sυkes mathete ten paraβolen otan aυtes ede o klados apalos genetai kai ekfυe ta fυlla ginoskete oti eggυs to theros estin</i>

East Original

29 οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις.

Textus Receptus

29. ουτως και υμεις οταν ταυτα ιδητε γινομενα γινωσκετε οτι εγγυς εστιν επι θυραις <i>29. oυtos kai υmeis otan taυta idete ginomena ginoskete oti eggυs estin epi thυrais</i>

East Original

30 ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις οὗ πάντα ταῦτα γένηται.

Textus Receptus

30. αμην λεγω υμιν οτι ου μη παρελθη η γενεα αυτη μεχρις ου παντα ταυτα γενηται <i>30. amen lego υmin oti oυ me parelthe e genea aυte mechris oυ panta taυta genetai</i>

East Original

31 ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ ἐμοὶ λόγοι οὐ μὴ παρελεύσονται.

Textus Receptus

31. ο ουρανος και η γη παρελευσονται οι δε λογοι μου ου μη παρελθωσιν <i>31. o oυranos kai e ge pareleυsontai oi de logoi moυ oυ me parelthosin</i>

East Original

32 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι ἐν οὐρανῷ οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ.

Textus Receptus

32. περι δε της ημερας εκεινης και της ωρας ουδεις οιδεν ουδε οι αγγελοι οι εν ουρανω ουδε ο υιος ει μη ο πατηρ <i>32. peri de tes emeras ekeines kai tes oras oυdeis oiden oυde oi aggeloi oi en oυrano oυde o υios ei me o pater</i>

| | | | |
|---|---|---|---|
| East Original | 33 Βλέπετε, ἀγρυπνεῖτε καὶ προσεύχεσθε· οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν. | Textus Receptus | 33. βλεπετε αγρυπνειτε και προσευχεσθε ουκ οιδατε γαρ ποτε ο καιρος εστιν <i>33. βlepete agrυpneite kai proseυchesthe oυk oidate gar pote o kairos estin</i> |
| East Original | 34 ὡς ἄνθρωπος ἀπόδημος, ἀφεὶς τὴν οἰκίαν αὐτοῦ, καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν καὶ ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ. | Textus Receptus | 34. ως ανθρωπος αποδημος αφεις την οικιαν αυτου και δους τοις δουλοις αυτου την εξουσιαν και εκαστω το εργον αυτου και τω θυρωρω ενετειλατο ινα γρηγορη <i>34. os anthropos apodemos afeis ten oikian aυtoυ kai doυs tois doυlois aυtoυ ten eksoυsian kai ekasto to ergon aυtoυ kai to thυroro eneteilato ina gregore</i> |
| East Original | 35 γρηγορεῖτε οὖν· οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται, ὀψὲ ἢ μεσονυκτίου ἢ ἀλεκτοροφωνίας ἢ πρωΐ· | Textus Receptus | 35. γρηγορειτε ουν ουκ οιδατε γαρ ποτε ο κυριος της οικιας ερχεται οψε η μεσονυκτιου η αλεκτοροφωνιας η πρωι <i>35. gregoreite oυn oυk oidate gar pote o kυrios tes oikias erchetai opse e mesonυktioυ e alektorofonias e proi</i> |
| East Original | 36 μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας. | Textus Receptus | 36. μη ελθων εξαιφνης ευρη υμας καθευδοντας <i>36. me elthon eksaifnes eυre υmas katheυdontas</i> |
| East Original | 37 ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω· γρηγορεῖτε. | Textus Receptus | 37. α δε υμιν λεγω πασιν λεγω γρηγορειτε <i>37. a de υmin lego pasin lego gregoreite</i> |

Κεφάλαιο 14

East Original

1 Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας. καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν.

Textus Receptus

1. ην δε το πασχα και τα αζυμα μετα δυο ημερας και εζητουν οι αρχιερεις και οι γραμματεις πως αυτον εν δολω κρατησαντες αποκτεινωσιν <i>1. en de to pascha kai ta azuma meta duo emeras kai ezetoun oi archiereis kai oi grammateis pos auton en dolo kratesantes apokteinosin</i>

East Original

2 ἔλεγον δὲ μὴ ἐν τῇ ἑορτῇ, μήποτε θόρυβος ἔσται τοῦ λαοῦ.

Textus Receptus

2. ελεγον δε μη εν τη εορτη μηποτε θορυβος εσται του λαου <i>2. elegon de me en te eorte mepote thoruβos estai tou laou</i>

East Original

3 Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ ἦλθε γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς πολυτελοῦς, καὶ συντρίψασα τὸ ἀλάβαστρον κατέχεεν αὐτοῦ κατὰ τῆς κεφαλῆς.

Textus Receptus

3. και οντος αυτου εν βηθανια εν τη οικια σιμωνος του λεπρου κατακειμενου αυτου ηλθεν γυνη εχουσα αλαβαστρον μυρου ναρδου πιστικης πολυτελους και συντριψασα το αλαβαστρον κατεχεεν αυτου κατα της κεφαλης <i>3. kai ontos autou en βethania en te oikia simonos tou leprou katakeimenou autou elthen gune echousa alaβastron murou nardou pistikes polutelous kai suntripsasa to alaβastron katecheen autou kata tes kefales</i>

East Original

4 ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς

Textus Receptus

4. ησαν δε τινες αγανακτουντες προς εαυτους

ἑαυτούς λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν;

και λεγοντες εις τι η απωλεια αυτη του μυρου γεγονεν <i>4. esan de tines aganaktountes pros eautous kai legontes eis ti e apoleia aute tou murou gegonen</i>

East Original

5 ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι ἐπάνω τριακοσίων δηναρίων καὶ δοθῆναι τοῖς πτωχοῖς· καὶ ἐνεβριμῶντο αὐτῇ.

Textus Receptus

5. ηδυνατο γαρ τουτο πραθηναι επανω τριακοσιων δηναριων και δοθηναι τοις πτωχοις και ενεβριμωντο αυτη <i>5. edunato gar touto prathenai epano triakosion denarion kai dothenai tois ptochois kai eneβrimonto aute</i>

East Original

6 ὁ δὲ Ἰησοῦς εἶπεν· Ἄφετε αὐτήν· τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον εἰργάσατο ἐν ἐμοί.

Textus Receptus

6. ο δε ιησους ειπεν αφετε αυτην τι αυτη κοπους παρεχετε καλον εργον ειργασατο εις εμε <i>6. o de iesous eipen afete auten ti aute kopous parechete kalon ergon eirgasato eis eme</i>

East Original

7 πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ’ ἑαυτῶν, καὶ ὅταν θέλητε δύνασθε αὐτοὺς εὖ ποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

Textus Receptus

7. παντοτε γαρ τους πτωχους εχετε μεθ εαυτων και οταν θελητε δυνασθε αυτους ευ ποιησαι εμε δε ου παντοτε εχετε <i>7. pantote gar tous ptochous echete meth eauton kai otan thelete dunasthe autous eu poiesai eme de ou pantote echete</i>

East Original

8 ὃ ἔσχεν αὕτη ἐποίησε· προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν

Textus Receptus

8. ο ειχεν αυτη εποιησεν προελαβεν μυρισαι μου το σωμα εις τον ενταφιασμον <i>8. o

ἐνταφιασμόν.

eichen aute epoiesen proelaβen murisai mou to soma eis ton entafiasmon</i>

East Original 9 ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς.

Textus Receptus 9. αμην λεγω υμιν οπου αν κηρυχθη το ευαγγελιον τουτο εις ολον τον κοσμον και ο εποιησεν αυτη λαληθησεται εις μνημοσυνον αυτης <i>9. amen lego umin opou an keruchthe to euaggelion touto eis olon ton kosmon kai o epoiesen aute lalethesetai eis mnemosunon autes</i>

East Original 10 Καὶ Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα, ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς ἵνα παραδῷ αὐτὸν αὐτοῖς.

Textus Receptus 10. και ο ιουδας ο ισκαριωτης εις των δωδεκα απηλθεν προς τους αρχιερεις ινα παραδω αυτον αυτοις <i>10. kai o ioudas o iskariotes eis ton dodeka apelthen pros tous archiereis ina parado auton autois</i>

East Original 11 οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύρια δοῦναι· καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν παραδῷ.

Textus Receptus 11. οι δε ακουσαντες εχαρησαν και επηγγειλαντο αυτω αργυριον δουναι και εζητει πως ευκαιρως αυτον παραδω <i>11. oi de akousantes echaresan kai epeggeilanto auto argurion dounai kai ezetei pos eukairos auton parado</i>

East Original 12 Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ποῦ θέλεις ἀπελθόντες

Textus Receptus 12. και τη πρωτη ημερα των αζυμων οτε το πασχα εθυον λεγουσιν αυτω οι μαθηται αυτου που θελεις απελθοντες ετοιμασωμεν

ἑτοιμάσωμεν ἵνα φάγῃς τὸ πάσχα;

ινα φαγης το πασχα <i>12. kai te prote emera ton azυmon ote to pascha ethυon legoυsin aυto oi mathetai aυtoυ poυ theleis apelthontes etoimasomen ina fages to pascha</i>

East Original

13 καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς· Ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ,

Textus Receptus

13. και αποστελλει δυο των μαθητων αυτου και λεγει αυτοις υπαγετε εις την πολιν και απαντησει υμιν ανθρωπος κεραμιον υδατος βασταζων ακολουθησατε αυτω <i>13. kai apostellei dυo ton matheton aυtoυ kai legei aυtois υpagete eis ten polin kai apantesei υmin anthropos keramion υdatos βastazon akoloυthesate aυto</i>

East Original

14 καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ ὅτι ὁ διδάσκαλος λέγει· ποῦ ἐστι τὸ κατάλυμά μου ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;

Textus Receptus

14. και οπου εαν εισελθη ειπατε τω οικοδεσποτη οτι ο διδασκαλος λεγει που εστιν το καταλυμα οπου το πασχα μετα των μαθητων μου φαγω <i>14. kai opoυ ean eiselthe eipate to oikodespote oti o didaskalos legei poυ estin to kataluma opoυ to pascha meta ton matheton moυ fago</i>

East Original

15 καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγαιον μέγα ἐστρωμένον ἕτοιμον· καὶ ἐκεῖ ἑτοιμάσατε ἡμῖν.

Textus Receptus

15. και αυτος υμιν δειξει ανωγεον μεγα εστρωμενον ετοιμον εκει ετοιμασατε ημιν <i>15. kai aυtos υmin deiksei anogeon mega estromenon etoimon ekei etoimasate emin</i>

East Original 16 καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἦλθον εἰς τὴν πόλιν, καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα.

Textus Receptus 16. και εξηλθον οι μαθηται αυτου και ηλθον εις την πολιν και ευρον καθως ειπεν αυτοις και ητοιμασαν το πασχα <i>16. kai ekselthon oi mathetai aυtoυ kai elthon eis ten polin kai eυron kathos eipen aυtois kai etoimasan to pascha</i>

East Original 17 Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα.

Textus Receptus 17. και οψιας γενομενης ερχεται μετα των δωδεκα <i>17. kai opsias genomenes erchetai meta ton dodeka</i>

East Original 18 καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων εἶπεν ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετ’ ἐμοῦ.

Textus Receptus 18. και ανακειμενων αυτων και εσθιοντων ειπεν ο ιησους αμην λεγω υμιν οτι εις εξ υμων παραδωσει με ο εσθιων μετ εμου <i>18. kai anakeimenon aυton kai esthionton eipen o iesoυs amen lego υmin oti eis eks υmon paradosei me o esthion met emoυ</i>

East Original 19 οἱ δὲ ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς καθ’ εἷς· Μήτι ἐγώ; καὶ ἄλλος· Μήτι ἐγώ;

Textus Receptus 19. οι δε ηρξαντο λυπεισθαι και λεγειν αυτω εις καθ εις μητι εγω και αλλος μητι εγω <i>19. oi de erksanto lυpeisthai kai legein aυto eis kath eis meti ego kai allos meti ego</i>

East Original 20 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Εἷς ἐκ τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ’ ἐμοῦ εἰς τὸ τρυβλίον.

Textus Receptus 20. ο δε αποκριθεις ειπεν αυτοις εις εκ των δωδεκα ο εμβαπτομενος μετ εμου εις το τρυβλιον <i>20. o de apokritheis eipen aυtois eis ek ton dodeka o emβaptomenos met emoυ eis to trυβlion</i>

East Original

21 ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι’ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

Textus Receptus

21. ο μεν υιος του ανθρωπου υπαγει καθως γεγραπται περι αυτου ουαι δε τω ανθρωπω εκεινω δι ου ο υιος του ανθρωπου παραδιδοται καλον ην αυτω ει ουκ εγεννηθη ο ανθρωπος εκεινος <i>21. o men υios toυ anthropoυ υpagei kathos gegraptai peri aυtoυ oυai de to anthropo ekeino di oυ o υios toυ anthropoυ paradidotai kalon en aυto ei oυk egennethe o anthropos ekeinos</i>

East Original

22 Καὶ ἐσθιόντων αὐτῶν λαβὼν ὁ Ἰησοῦς ἄρτον εὐλογήσας ἔκλασε καὶ ἔδωκεν αὐτοῖς καὶ εἶπε· Λάβετε φάγετε τοῦτό ἐστι τὸ σῶμά μου.

Textus Receptus

22. και εσθιοντων αυτων λαβων ο ιησους αρτον ευλογησας εκλασεν και εδωκεν αυτοις και ειπεν λαβετε φαγετε τουτο εστιν το σωμα μου <i>22. kai esthionton aυton laβon o iesoυs arton eυlogesas eklasen kai edoken aυtois kai eipen laβete fagete toυto estin to soma moυ</i>

East Original

23 καὶ λαβὼν τὸ ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ ἔπιον ἐξ αὐτοῦ πάντες.

Textus Receptus

23. και λαβων το ποτηριον ευχαριστησας εδωκεν αυτοις και επιον εξ αυτου παντες <i>23. kai laβon to poterion eυcharistesas edoken aυtois kai epion eks aυtoυ pantes</i>

East Original

24 καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον.

Textus Receptus

24. και ειπεν αυτοις τουτο εστιν το αιμα μου το της καινης διαθηκης το περι πολλων εκχυνομενον <i>24. kai eipen aυtois toυto estin to aima moυ to tes kaines diathekes to peri

pollon ekchunomenon</i>

East Original 25 ἀμὴν λέγω ὑμῖν ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

Textus Receptus 25. αμην λεγω υμιν οτι ουκετι ου μη πιω εκ του γεννηματος της αμπελου εως της ημερας εκεινης οταν αυτο πινω καινον εν τη βασιλεια του θεου <i>25. amen lego umin oti ouketi ou me pio ek tou gennematos tes ampelou eos tes emeras ekeines otan auto pino kainon en te βasileia tou theou</i>

East Original 26 Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

Textus Receptus 26. και υμνησαντες εξηλθον εις το ορος των ελαιων <i>26. kai umnesantes ekselthon eis to oros ton elaion</i>

East Original 27 καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι Πάντες σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· ὅτι γέγραπται, πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσονται τὰ πρόβατα·

Textus Receptus 27. και λεγει αυτοις ο ιησους οτι παντες σκανδαλισθησεσθε εν εμοι εν τη νυκτι ταυτη οτι γεγραπται παταξω τον ποιμενα και διασκορπισθησεται τα προβατα <i>27. kai legei autois o iesous oti pantes skandalisthesesthe en emoi en te nukti taute oti gegraptai patakso ton poimena kai diaskorpisthesetai ta proβata</i>

East Original 28 ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.

Textus Receptus 28. αλλα μετα το εγερθηναι με προαξω υμας εις την γαλιλαιαν <i>28. alla meta to egerthenai me proakso umas eis ten galilaian</i>

East Original 29 ὁ δὲ Πέτρος ἔφη αὐτῷ· Καὶ εἰ πάντες

Textus Receptus 29. ο δε πετρος εφη αυτω και ει παντες

East Original 34 εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον·

Textus Receptus 34. ειπεν δε μαριαμ προς τον αγγελον πως

| | | | |
|---|---|---|---|
| | Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; | | εσται τουτο επει ανδρα ου γινωσκω 34. eipen de mariam pros ton aggelon pos estai toυto epei andra oυ ginosko |
| East Original | 35 καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς Θεοῦ. | Textus Receptus | 35. και αποκριθεις ο αγγελος ειπεν αυτη πνευμα αγιον επελευσεται επι σε και δυναμις υψιστου επισκιασει σοι διο και το γεννωμενον {VAR2: εκ σου } αγιον κληθησεται υιος θεου 35. kai apokritheis o aggelos eipen aυte pneυma agion epeleυsetai epi se kai dυnamis υpsistoυ episkiasei soi dio kai to gennomenon {VAR2: ek soυ } agion klethesetai υios theoυ |
| East Original | 36 καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενὴς σου καὶ αὐτὴ συνεληφυῖα υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ· | Textus Receptus | 36. και ιδου ελισαβετ η συγγενης σου και αυτη συνειληφυια υιον εν γηρα αυτης και ουτος μην εκτος εστιν αυτη τη καλουμενη στειρα 36. kai idoυ elisaβet e sυggenes soυ kai aυte sυneilefυia υion en gera aυtes kai oυtos men ektos estin aυte te kaloυmene steira |
| East Original | 37 ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. | Textus Receptus | 37. οτι ουκ αδυνατησει παρα τω θεω παν ρημα 37. oti oυk adυnatesei para to theo pan rema |
| East Original | 38 εἶπεν δὲ Μαριάμ· Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. καὶ ἀπῆλθεν ἀπ’ αὐτῆς ὁ ἄγγελος. | Textus Receptus | 38. ειπεν δε μαριαμ ιδου η δουλη κυριου γενοιτο μοι κατα το ρημα σου και απηλθεν απ αυτης ο αγγελος 38. eipen de mariam idoυ |

e doυle kυriou genoito moi kata to rema soυ kai apelthen ap aυtes o aggelos

| | | | |
|---|---|---|---|
| East Original | 39 Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα, | Textus Receptus | 39. αναστασα δε μαριαμ εν ταις ημεραις ταυταις επορευθη εις την ορεινην μετα σπουδης εις πολιν ιουδα 39. anastasa de mariam en tais emerais taυtais eporeυthe eis ten oreinen meta spoυdes eis polin ioυda |
| East Original | 40 καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. | Textus Receptus | 40. και εισηλθεν εις τον οικον ζαχαριου και ησπασατο την ελισαβετ 40. kai eiselthen eis ton oikon zachariou kai espasato ten elisaβet |
| East Original | 41 καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησεν τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ | Textus Receptus | 41. και εγενετο ως ηκουσεν η ελισαβετ τον ασπασμον της μαριας εσκιρτησεν το βρεφος εν τη κοιλια αυτης και επλησθη πνευματος αγιου η ελισαβετ 41. kai egeneto os ekoυsen e elisaβet ton aspasmon tes marias eskirtesen to βrefos en te koilia aυtes kai eplesthe pneυmatos agioυ e elisaβet |
| East Original | 42 καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξί καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. | Textus Receptus | 42. και ανεφωνησεν φωνη μεγαλη και ειπεν ευλογημενη συ εν γυναιξιν και ευλογημενος ο καρπος της κοιλιας σου 42. kai anefonesen fone megale kai eipen eυlogemene sυ en gυnaiksin kai eυlogemenos o karpos tes koilias soυ |

East Original

43 καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρὸς μέ;

Textus Receptus

43. και ποθεν μοι τουτο ινα ελθη η μητηρ του κυριου μου προς με 43. kai pothen moi touto ina elthe e meter tou kuriou mou pros me

East Original

44 ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησεν τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου.

Textus Receptus

44. ιδου γαρ ως εγενετο η φωνη του ασπασμου σου εις τα ωτα μου εσκιρτησεν εν αγαλλιασει το βρεφος εν τη κοιλια μου 44. idou gar os egeneto e fone tou aspasmou sou eis ta ota mou eskirtesen en agalliasei to βrefos en te koilia mou

East Original

45 καὶ μακαρία ἡ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου.

Textus Receptus

45. και μακαρια η πιστευσασα οτι εσται τελειωσις τοις λελαλημενοις αυτη παρα κυριου 45. kai makaria e pisteusasa oti estai teleiosis tois lelalemenois aute para kuriou

East Original

46 Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον

Textus Receptus

46. και ειπεν μαριαμ μεγαλυνει η ψυχη μου τον κυριον 46. kai eipen mariam megalunei e psuche mou ton kurion

East Original

47 καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου,

Textus Receptus

47. και ηγαλλιασεν το πνευμα μου επι τω θεω τω σωτηρι μου 47. kai egalliasen to pneuma mou epi to theo to soteri mou

East Original

48 ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Textus Receptus

48. οτι επεβλεψεν επι την ταπεινωσιν της δουλης αυτου ιδου γαρ απο του νυν μακαριουσιν με πασαι αι γενεαι 48. oti epeβlepsen epi ten tapeinosin tes doules autou

idoυ gar apo toυ nυn makarioυsin me pasai ai geneai

East Original 49 ὅτι ἐποίησέ μοι μεγάλα ὁ δυνατός καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ,

Textus Receptus 49. οτι εποιησεν μοι μεγαλεια ο δυνατος και αγιον το ονομα αυτου 49. oti epoiesen moi megaleia o dυnatos kai agion to onoma aυtoυ

East Original 50 καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς φοβουμένοις αὐτόν.

Textus Receptus 50. και το ελεος αυτου εις γενεας γενεων τοις φοβουμενοις αυτον 50. kai to eleos aυtoυ eis geneas geneon tois foβoυmenois aυton

East Original 51 Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν·

Textus Receptus 51. εποιησεν κρατος εν βραχιονι αυτου διεσκορπισεν υπερηφανους διανοια καρδιας αυτων 51. epoiesen kratos en βrachioni aυtoυ dieskorpisen υperefanoυs dianoia kardias aυton

East Original 52 καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς,

Textus Receptus 52. καθειλεν δυναστας απο θρονων και υψωσεν ταπεινους 52. katheilen dυnastas apo thronon kai υpsosen tapeinoυs

East Original 53 πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Textus Receptus 53. πεινωντας ενεπλησεν αγαθων και πλουτουντας εξαπεστειλεν κενους 53. peinontas eneplesen agathon kai ploυtoυntas eksapesteilen kenoυs

East Original 54 ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους,

Textus Receptus 54. αντελαβετο ισραηλ παιδος αυτου μνησθηναι ελεους 54. antelaβeto israel paidos aυtoυ mnesthenai eleoυs

East Original 55 καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας

Textus Receptus 55. καθως ελαλησεν προς τους πατερας ημων

ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα.

τω αβρααμ και τω σπερματι αυτου εις τον αιωνα 55. kathos elalesen pros tous pateras emon to aβraam kai to spermati autou eis ton aiona

East Original
56 Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Textus Receptus
56. εμεινεν δε μαριαμ συν αυτη ωσει μηνας τρεις και υπεστρεψεν εις τον οικον αυτης 56. emeinen de mariam sun aute osei menas treis kai upestrepsen eis ton oikon autes

East Original
57 Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν υἱόν.

Textus Receptus
57. τη δε ελισαβετ επλησθη ο χρονος του τεκειν αυτην και εγεννησεν υιον 57. te de elisaβet eplesthe o chronos tou tekein auten kai egennesen uion

East Original
58 καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ.

Textus Receptus
58. και ηκουσαν οι περιοικοι και οι συγγενεις αυτης οτι εμεγαλυνεν κυριος το ελεος αυτου μετ αυτης και συνεχαιρον αυτη 58. kai ekousan oi perioikoi kai oi suggeneis autes oti emegalunen kurios to eleos autou met autes kai sunechairon aute

East Original
59 Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν.

Textus Receptus
59. και εγενετο εν τη ογδοη ημερα ηλθον περιτεμειν το παιδιον και εκαλουν αυτο επι τω ονοματι του πατρος αυτου ζαχαριαν 59. kai egeneto en te ogdoe emera elthon peritemein to paidion kai ekaloun auto epi to onomati tou

patros autou zacharian

East Original 60 καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν· Οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης.

Textus Receptus 60. και αποκριθεισα η μητηρ αυτου ειπεν ουχι αλλα κληθησεται ιωαννης 60. kai apokritheisa e meter autou eipen ouchi alla klethesetai ioannes

East Original 61 καὶ εἶπον πρὸς αὐτὴν ὅτι Οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ·

Textus Receptus 61. και ειπον προς αυτην οτι ουδεις εστιν εν τη συγγενεια σου ος καλειται τω ονοματι τουτω 61. kai eipon pros auten oti oudeis estin en te suggeneia sou os kaleitai to onomati touto

East Original 62 ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν.

Textus Receptus 62. ενενευον δε τω πατρι αυτου το τι αν θελοι καλεισθαι αυτον 62. eneneuon de to patri autou to ti an theloi kaleisthai auton

East Original 63 καὶ αἰτήσας πινακίδιον ἔγραψε λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ· καὶ ἐθαύμασαν πάντες.

Textus Receptus 63. και αιτησας πινακιδιον εγραψεν λεγων ιωαννης εστιν το ονομα αυτου και εθαυμασαν παντες 63. kai aitesas pinakidion egrapsen legon ioannes estin to onoma autou kai ethaumasan pantes

East Original 64 ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν.

Textus Receptus 64. ανεωχθη δε το στομα αυτου παραχρημα και η γλωσσα αυτου και ελαλει ευλογων τον θεον 64. aneochthe de to stoma autou parachrema kai e glossa autou kai elalei eulogon ton theon

East Original 65 καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς

Textus Receptus 65. και εγενετο επι παντας φοβος τους

περιοικοῦντας αὐτούς, καὶ ἐν ὅλῃ τῇ
ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ
ῥήματα ταῦτα,

περιοικουντας αυτους και εν ολη τη ορεινη
της ιουδαιας διελαλειτο παντα τα ρηματα
ταυτα 65. kai egeneto epi pantas foβos tous
perioikountas autous kai en ole te oreine tes
ioudaias dielaleito panta ta remata tauta

East Original

66 καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ
καρδίᾳ αὐτῶν, λέγοντες· Τί ἄρα τὸ
παιδίον τοῦτο ἔσται; καὶ χεὶρ Κυρίου ἦν
μετ’ αὐτοῦ.

Textus Receptus

66. και εθεντο παντες οι ακουσαντες εν τη
καρδια αυτων λεγοντες τι αρα το παιδιον
τουτο εσται και χειρ κυριου ην μετ αυτου 66.
kai ethento pantes oi akousantes en te kardia
auton legontes ti ara to paidion touto estai kai
cheir kuriou en met autou

East Original

67 Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη
Πνεύματος ἁγίου καὶ προεφήτευσε
λέγων·

Textus Receptus

67. και ζαχαριας ο πατηρ αυτου επλησθη
πνευματος αγιου και προεφητευσεν λεγων 67.
kai zacharias o pater autou eplesthe pneumatos
agiou kai proefeteusen legon

East Original

68 Εὐλογητὸς Κύριος, ὁ Θεὸς τοῦ Ἰσραήλ,
ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ
λαῷ αὐτοῦ,

Textus Receptus

68. ευλογητος κυριος ο θεος του ισραηλ οτι
επεσκεψατο και εποιησεν λυτρωσιν τω λαω
αυτου 68. eulogetos kurios o theos tou israel oti
epeskepsato kai epoiesen lutrosin to lao autou

East Original

69 καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ
οἴκῳ Δαυῒδ τοῦ παιδὸς αὐτοῦ,

Textus Receptus

69. και ηγειρεν κερας σωτηριας ημιν εν τω
οικω δαβιδ του παιδος αυτου 69. kai egeiren
keras soterias emin en to oiko daβid tou paidos
autou

East Original

70 καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ’ αἰῶνος προφητῶν αὐτοῦ,

Textus Receptus

70. καθως ελαλησεν δια στοματος των αγιων των απ αιωνος προφητων αυτου 70. kathos elalesen dia stomatos ton agion ton ap aionos profeton autou

East Original

71 σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς,

Textus Receptus

71. σωτηριαν εξ εχθρων ημων και εκ χειρος παντων των μισουντων ημας 71. soterian eks echthron emon kai ek cheiros panton ton misounton emas

East Original

72 ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ,

Textus Receptus

72. ποιησαι ελεος μετα των πατερων ημων και μνησθηναι διαθηκης αγιας αυτου 72. poiesai eleos meta ton pateron emon kai mnesthenai diathekes agias autou

East Original

73 καθὼς ἐλάλησε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν

Textus Receptus

73. ορκον ον ωμοσεν προς αβρααμ τον πατερα ημων 73. orkon on omosen pros aβraam ton patera emon

East Original

74 ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ

Textus Receptus

74. του δουναι ημιν αφοβως εκ χειρος των εχθρων ημων ρυσθεντας λατρευειν αυτω 74. tou dounai emin afoβos ek cheiros ton echthron emon rusthentas latreuein auto

East Original

75 ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Textus Receptus

75. εν οσιοτητι και δικαιοσυνη ενωπιον αυτου πασας τας ημερας της ζωης ημων 75. en osioteti kai dikaiosune enopion autou pasas tas emeras tes zoes emon

East Original

76 Καὶ σὺ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ,

Textus Receptus

76. και συ παιδιον προφητης υψιστου κληθηση προπορευση γαρ προ προσωπου κυριου ετοιμασαι οδους αυτου 76. kai su paidion profetes upsistou klethese proporeuse gar pro prosopou kuriou etoimasai odous autou

East Original

77 τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν

Textus Receptus

77. του δουναι γνωσιν σωτηριας τω λαω αυτου εν αφεσει αμαρτιων αυτων 77. tou dounai gnosin soterias to lao autou en afesei amartion auton

East Original

78 διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους

Textus Receptus

78. δια σπλαγχνα ελεους θεου ημων εν οις επεσκεψατο ημας ανατολη εξ υψους 78. dia splagchna eleous theou emon en ois epeskepsato emas anatole eks upsous

East Original

79 ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Textus Receptus

79. επιφαναι τοις εν σκοτει και σκια θανατου καθημενοις του κατευθυναι τους ποδας ημων εις οδον ειρηνης 79. epifanai tois en skotei kai skia thanatou kathemenois tou kateuthunai tous podas emon eis odon eirenes

East Original

80 Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

Textus Receptus

80. το δε παιδιον ηυξανεν και εκραταιουτο πνευματι και ην εν ταις ερημοις εως ημερας αναδειξεως αυτου προς τον ισραηλ 80. to de paidion euksanen kai ekrataiouto pneumati kai en en tais eremois eos emeras anadeikseos autou

Κεφάλαιο 2

East Original 1 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην.

Textus Receptus 1. εγενετο δε εν ταις ημεραις εκειναις εξηλθεν δογμα παρα καισαρος αυγουστου απογραφεσθαι πασαν την οικουμενην 1. egeneto de en tais emerais ekeinais ekselthen dogma para kaisaros auγouστou apografesthai pasan ten oikoυmenen

East Original 2 αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου.

Textus Receptus 2. αυτη η απογραφη πρωτη εγενετο ηγεμονευοντος της συριας κυρηνιου 2. aυte e apografe prote egeneto egemoneυontos tes sυrias kυreniou

East Original 3 καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν.

Textus Receptus 3. και επορευοντο παντες απογραφεσθαι εκαστος εις την ιδιαν πολιν 3. kai eporeυonto pantes apografesthai ekastos eis ten idian polin

East Original 4 Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲτ εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαυῒδ ἥτις καλεῖται Βηθλέεμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυῒδ,

Textus Receptus 4. ανεβη δε και ιωσηφ απο της γαλιλαιας εκ πολεως {VAR1: ναζαρετ } {VAR2: ναζαρεθ } εις την ιουδαιαν εις πολιν δαβιδ ητις καλειται βηθλεεμ δια το ειναι αυτον εξ οικου και πατριας δαβιδ 4. aneβe de kai iosef apo tes galilaias ek poleos {VAR1: nazaret } {VAR2:

nazareth } eis ten ioυdaian eis polin daβid etis kaleitai βethleem dia to einai aυton eks oikoυ kai patrias daβid

East Original 5 ἀπογράψασθαι σὺν Μαριὰμ τῇ ἐμνηστευμένῃ αὐτῷ γυναικὶ, οὔσῃ ἐγκύῳ.

Textus Receptus 5. απογραψασθαι συν μαριαμ τη μεμνηστευμενη αυτω γυναικι ουση εγκυω 5. apograpsasthai sυn mariam te memnesteυmene aυto gυnaiki oυse egkυo

East Original 6 ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν,

Textus Receptus 6. εγενετο δε εν τω ειναι αυτους εκει επλησθησαν αι ημεραι του τεκειν αυτην 6. egeneto de en to einai aυtoυs ekei eplesthesan ai emerai toυ tekein aυten

East Original 7 καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον· καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

Textus Receptus 7. και ετεκεν τον υιον αυτης τον πρωτοτοκον και εσπαργανωσεν αυτον και ανεκλινεν αυτον εν τη φατνη διοτι ουκ ην αυτοις τοπος εν τω καταλυματι 7. kai eteken ton υion aυtes ton prototokon kai esparganosen aυton kai aneklinen aυton en te fatne dioti oυk en aυtois topos en to katalυmati

East Original 8 Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν.

Textus Receptus 8. και ποιμενες ησαν εν τη χωρα τη αυτη αγραυλουντες και φυλασσοντες φυλακας της νυκτος επι την ποιμνην αυτων 8. kai poimenes esan en te chora te aυte agraυloυntes kai fυlassontes fυlakas tes nυktos epi ten poimnen

auton

East Original

9 καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν.

Textus Receptus

9. και ιδου αγγελος κυριου επεστη αυτοις και δοξα κυριου περιελαμψεν αυτους και εφοβηθησαν φοβον μεγαν 9. kai idou aggelos kuriou epeste autois kai doksa kuriou perielampsen autous kai efoβethesan foβon megan

East Original

10 καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· Μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην ἥτις ἔσται παντὶ τῷ λαῷ,

Textus Receptus

10. και ειπεν αυτοις ο αγγελος μη φοβεισθε ιδου γαρ ευαγγελιζομαι υμιν χαραν μεγαλην ητις εσται παντι τω λαω 10. kai eipen autois o aggelos me foβeisthe idou gar euaggelizomai umin charan megalen etis estai panti to lao

East Original

11 ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ ὅς ἐστιν Χριστὸς Κύριος ἐν πόλει Δαυῒδ.

Textus Receptus

11. οτι ετεχθη υμιν σημερον σωτηρ ος εστιν χριστος κυριος εν πολει δαβιδ 11. oti etechthe umin semeron soter os estin christos kurios en polei daβid

East Original

12 καὶ τοῦτο ὑμῖν τὸ σημεῖον, εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν φάτνῃ.

Textus Receptus

12. και τουτο υμιν το σημειον ευρησετε βρεφος εσπαργανωμενον κειμενον εν τη φατνη 12. kai touto umin to semeion euresete βrefos esparganomenon keimenon en te fatne

East Original

13 καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν Θεὸν καὶ λεγόντων·

Textus Receptus

13. και εξαιφνης εγενετο συν τω αγγελω πληθος στρατιας ουρανιου αινουντων τον θεον και λεγοντων 13. kai eksaifnes egeneto

sυn to aggelo plethos stratias oυraniou
ainoυnton ton theon kai legonton

East Original

14 Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς
εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Textus Receptus

14. δοξα εν υψιστοις θεω και επι γης ειρηνη εν
ανθρωποις ευδοκια 14. doksa en υpsistois theo
kai epi ges eirene en anthropois eυdokia

East Original

15 Καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς
τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι
οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους·
Διέλθωμεν δὴ ἕως Βηθλέεμ καὶ ἴδωμεν τὸ
ῥῆμα τοῦτο τὸ γεγονὸς ὃ ὁ Κύριος
ἐγνώρισεν ἡμῖν.

Textus Receptus

15. και εγενετο ως απηλθον απ αυτων εις τον
ουρανον οι αγγελοι και οι ανθρωποι οι
ποιμενες ειπον προς αλληλους διελθωμεν δη
εως βηθλεεμ και ιδωμεν το ρημα τουτο το
γεγονος ο ο κυριος εγνωρισεν ημιν 15. kai
egeneto os apelthon ap aυton eis ton oυranon oi
aggeloi kai oi anthropoi oi poimenes eipon pros
allelous dielthomen de eos βethleem kai idomen
to rema toυto to gegonos o o kυrios egnorisen
emin

East Original

16 καὶ ἦλθον σπεύσαντες καὶ ἀνεῦρον
τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ καὶ τὸ
βρέφος κείμενον ἐν τῇ φάτνῃ.

Textus Receptus

16. και ηλθον σπευσαντες και ανευρον την τε
μαριαμ και τον ιωσηφ και το βρεφος κειμενον
εν τη φατνη 16. kai elthon speυsantes kai
aneυron ten te mariam kai ton iosef kai to βrefos
keimenon en te fatne

East Original

17 ἰδόντες δὲ διεγνώρισαν περὶ τοῦ
ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ
παιδίου τούτου·

Textus Receptus

17. ιδοντες δε διεγνωρισαν περι του ρηματος
του λαληθεντος αυτοις περι του παιδιου
τουτου 17. idontes de diegnorisan peri tou

remates tou lalethentos autois peri tou paidiou toutou

| | | | |
|---|---|---|---|
| East Original | 18 καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. | Textus Receptus | 18. και παντες οι ακουσαντες εθαυμασαν περι των λαληθεντων υπο των ποιμενων προς αυτους 18. kai pantes oi akousantes ethaumasan peri ton lalethenton upo ton poimenon pros autous |
| East Original | 19 ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. | Textus Receptus | 19. η δε μαριαμ παντα συνετηρει τα ρηματα ταυτα συμβαλλουσα εν τη καρδια αυτης 19. e de mariam panta suneterei ta remata tauta sumβallousa en te kardia autes |
| East Original | 20 καὶ ὑπέστρεψαν οἱ ποιμένες δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον καθὼς ἐλαλήθη πρὸς αὐτούς. | Textus Receptus | 20. και επεστρεψαν οι ποιμενες δοξαζοντες και αινουντες τον θεον επι πασιν οις ηκουσαν και ειδον καθως ελαληθη προς αυτους 20. kai epestrepsan oi poimenes doksazontes kai ainountes ton theon epi pasin ois ekousan kai eidon kathos elalethe pros autous |
| East Original | 21 Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τό παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. | Textus Receptus | 21. και οτε επλησθησαν ημεραι οκτω του περιτεμειν το παιδιον και εκληθη το ονομα αυτου ιησους το κληθεν υπο του αγγελου προ του συλληφθηναι αυτον εν τη κοιλια 21. kai ote eplesthesan emerai okto tou peritemein to paidion kai eklethe to onoma autou iesous to |

klethen υpo toυ aggeloυ pro toυ sυllefthenai
aυton en te koilia

East Original

22 Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ,

Textus Receptus

22. και οτε επλησθησαν αι ημεραι του καθαρισμου {VAR1: αυτων } {VAR2: αυτης } κατα τον νομον μωσεως ανηγαγον αυτον εις ιεροσολυμα παραστησαι τω κυριω 22. kai ote eplesthesan ai emerai toυ katharismoυ {VAR1: aυton } {VAR2: aυtes } kata ton nomon moseos anegagon aυton eis ierosolυma parastesai to kυrio

East Original

23 καθὼς γέγραπται ἐν νόμῳ Κυρίου ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται,

Textus Receptus

23. καθως γεγραπται εν νομω κυριου οτι παν αρσεν διανοιγον μητραν αγιον τω κυριω κληθησεται 23. kathos gegraptai en nomo kυrioυ oti pan arsen dianoigon metran agion to kυrio klethesetai

East Original

24 καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν τῷ νόμῳ Κυρίου, ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν.

Textus Receptus

24. και του δουναι θυσιαν κατα το ειρημενον εν νομω κυριου ζευγος τρυγονων η δυο νεοσσους περιστερων 24. kai toυ doυnai thυsian kata to eiremenon en nomo kυrioυ zeυgos trυgonon e dυo neossoυs peristeron

East Original

25 Καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν Ἰερουσολύμοις ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής,

Textus Receptus

25. και ιδου ην ανθρωπος εν ιερουσαλημ ω ονομα {VAR1: συμεων } {VAR2: σιμεων } και ο ανθρωπος ουτος δικαιος και ευλαβης

προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ Πνεῦμα ἦν ἅγιον ἐπ᾽ αὐτόν·

προσδεχομενος παρακλησιν του ισραηλ και πνευμα αγιον ην επ αυτον 25. kai idou en anthropos en ierousalem o onoma {VAR1: sumeon } {VAR2: simeon } kai o anthropos outos dikaios kai eulaβes prosdechomenos paraklesin tou israel kai pneuma agion en ep auton

East Original

26 καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου.

Textus Receptus

26. και ην αυτω κεχρηματισμενον υπο του πνευματος του αγιου μη ιδειν θανατον πριν η ιδη τον χριστον κυριου 26. kai en auto kechrematismenon upo tou pneumatos tou agiou me idein thanaton prin e ide ton christon kuriou

East Original

27 καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ

Textus Receptus

27. και ηλθεν εν τω πνευματι εις το ιερον και εν τω εισαγαγειν τους γονεις το παιδιον ιησουν του ποιησαι αυτους κατα το ειθισμενον του νομου περι αυτου 27. kai elthen en to pneumati eis to ieron kai en to eisagagein tous goneis to paidion iesoun tou poiesai autous kata to eithismenon tou nomou peri autou

East Original

28 καὶ αὐτὸς ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ καὶ εὐλόγησε τὸν Θεὸν καὶ εἶπε·

Textus Receptus

28. και αυτος εδεξατο αυτο εις τας αγκαλας αυτου και ευλογησεν τον θεον και ειπεν 28. kai autos edeksato auto eis tas agkalas autou kai eulogesen ton theon kai eipen

| | | | |
|---|---|---|---|
| East Original | 29 Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, | Textus Receptus | 29. νυν απολυεις τον δουλον σου δεσποτα κατα το ρημα σου εν ειρηνη 29. nun apolueis ton doulon sou despota kata to rema sou en eirene |
| East Original | 30 ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, | Textus Receptus | 30. οτι ειδον οι οφθαλμοι μου το σωτηριον σου 30. oti eidon oi ofthalmoi mou to soterion sou |
| East Original | 31 ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. | Textus Receptus | 31. ο ητοιμασας κατα προσωπον παντων των λαων 31. o etoimasas kata prosopon panton ton laon |
| East Original | 32 φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ. | Textus Receptus | 32. φως εις αποκαλυψιν εθνων και δοξαν λαου σου ισραηλ 32. fos eis apokalupsin ethnon kai doksan laou sou israel |
| East Original | 33 καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. | Textus Receptus | 33. και ην ιωσηφ και η μητηρ αυτου θαυμαζοντες επι τοις λαλουμενοις περι αυτου 33. kai en iosef kai e meter autou thaumazontes epi tois laloumenois peri autou |
| East Original | 34 καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπεν πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον. | Textus Receptus | 34. και ευλογησεν αυτους {VAR1: συμεων } {VAR2: σιμεων } και ειπεν προς μαριαμ την μητερα αυτου ιδου ουτος κειται εις πτωσιν και αναστασιν πολλων εν τω ισραηλ και εις σημειον αντιλεγομενον 34. kai eulogesen autous {VAR1: sumeon } {VAR2: simeon } kai eipen pros mariam ten metera autou idou outos |

keitai eis ptosin kai anastasin pollon en to israel kai eis semeion antilegomenon

| | | | |
|---|---|---|---|
| East Original | 35 καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. | Textus Receptus | 35. και σου δε αυτης την ψυχην διελευσεται ρομφαια οπως αν αποκαλυφθωσιν εκ πολλων καρδιων διαλογισμοι 35. kai sou de autes ten psuchen dieleusetai romfaia opos an apokalufthosin ek pollon kardion dialogismoi |
| East Original | 36 Καὶ ἦν Ἅννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα μετὰ ἀνδρὸς ἔτη ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς, | Textus Receptus | 36. και ην αννα προφητις θυγατηρ φανουηλ εκ φυλης ασηρ αυτη προβεβηκυια εν ημεραις πολλαις ζησασα ετη μετα ανδρος επτα απο της παρθενιας αυτης 36. kai en anna profetis thugater fanouel ek fules aser aute proβeβekuia en emerais pollais zesasa ete meta andros epta apo tes parthenias autes |
| East Original | 37 καὶ αὐτὴ χήρα ἕως ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν· | Textus Receptus | 37. και αυτη χηρα ως ετων ογδοηκοντατεσσαρων η ουκ αφιστατο απο του ιερου νηστειαις και δεησεσιν λατρευουσα νυκτα και ημεραν 37. kai aute chera os eton ogdoekontatessaron e ouk afistato apo tou ierou nesteiais kai deesesin latreuousa nukta kai emeran |
| East Original | 38 καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ Κυρίῳ καὶ ἐλάλει περὶ | Textus Receptus | 38. και αυτη αυτη τη ωρα επιστασα ανθωμολογειτο τω κυριω και ελαλει περι |

αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ.

αυτου πασιν τοις προσδεχομενοις λυτρωσιν εν ιερουσαλημ 38. kai aυte aυte te ora epistasa anthomologeito to kυrio kai elalei peri aυtoυ pasin tois prosdechomenois lυtrosin en ieroυsalem

East Original

39 Καὶ ὡς ἐτέλεσαν πάντα τὰ κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν εἰς πόλιν ἑαυτῶν Ναζαρέτ.

Textus Receptus

39. και ως ετελεσαν απαντα τα κατα τον νομον κυριου υπεστρεψαν εις την γαλιλαιαν εις την πολιν αυτων {VAR1: ναζαρετ } {VAR2: ναζαρεθ } 39. kai os etelesan apanta ta kata ton nomon kυrioυ υpestrepsan eis ten galilaian eis ten polin aυton {VAR1: nazaret } {VAR2: nazareth }

East Original

40 Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ᾽ αὐτό.

Textus Receptus

40. το δε παιδιον ηυξανεν και εκραταιουτο πνευματι πληρουμενον σοφιας και χαρις θεου ην επ αυτο 40. to de paidion eυksanen kai ekrataioυto pneυmati pleroυmenon sofias kai charis theoυ en ep aυto

East Original

41 Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ᾽ ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα.

Textus Receptus

41. και επορευοντο οι γονεις αυτου κατ ετος εις ιερουσαλημ τη εορτη του πασχα 41. kai eporeυonto oi goneis aυtoυ kat etos eis ieroυsalem te eorte toυ pascha

East Original

42 καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ

Textus Receptus

42. και οτε εγενετο ετων δωδεκα αναβαντων αυτων εις ιεροσολυμα κατα το εθος της

| | | | |
|---|---|---|---|
| | τὸ ἔθος τῆς ἑορτῆς | | εορτης 42. kai ote egeneto eton dodeka anaβanton aυton eis ierosolυma kata to ethos tes eortes |
| East Original | 43 καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ  ἡ μήτηρ αὐτοῦ. | Textus Receptus | 43. και τελειωσαντων τας ημερας εν τω υποστρεφειν αυτους υπεμεινεν ιησους ο παις εν ιερουσαλημ και ουκ εγνω ιωσηφ και η μητηρ αυτου 43. kai teleiosanton tas emeras en to υpostrefein aυtoυs υpemeinen iesoυs o pais en ieroυsalem kai oυk egno iosef kai e meter aυtoυ |
| East Original | 44 νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι ἦλθον ἡμέρας ὁδὸν καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ τοῖς γνωστοῖς· | Textus Receptus | 44. νομισαντες δε αυτον εν τη συνοδια ειναι ηλθον ημερας οδον και ανεζητουν αυτον εν τοις συγγενεσιν και εν τοις γνωστοις 44. nomisantes de aυton en te sυnodia einai elthon emeras odon kai anezetoυn aυton en tois sυggenesin kai en tois gnostois |
| East Original | 45 καὶ μὴ εὑρόντες αὐτόν ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ζητοῦντες αὐτόν. | Textus Receptus | 45. και μη ευροντες αυτον υπεστρεψαν εις ιερουσαλημ ζητουντες αυτον 45. kai me eυrontes aυton υpestrepsan eis ieroυsalem zetoυntes aυton |
| East Original | 46 καὶ ἐγένετο μεθ’ ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν καὶ | Textus Receptus | 46. και εγενετο μεθ ημερας τρεις ευρον αυτον εν τω ιερω καθεζομενον εν μεσω των διδασκαλων και ακουοντα αυτων και |

ἐπερωτῶντα αὐτούς·

επερωτωντα αυτους 46. kai egeneto meth emeras treis euron auton en to iero kathezomenon en meso ton didaskalon kai akouonta auton kai eperotonta autous

East Original
47 ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ.

Textus Receptus
47. εξισταντο δε παντες οι ακουοντες αυτου επι τη συνεσει και ταις αποκρισεσιν αυτου 47. eksistanto de pantes oi akouontes autou epi te sunesei kai tais apokrisesin autou

East Original
48 καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν, καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε.

Textus Receptus
48. και ιδοντες αυτον εξεπλαγησαν και προς αυτον η μητηρ αυτου ειπεν τεκνον τι εποιησας ημιν ουτως ιδου ο πατηρ σου καγω οδυνωμενοι εζητουμεν σε 48. kai idontes auton ekseplagesan kai pros auton e meter autou eipen teknon ti epoiesas emin outos idou o pater sou kago odunomenoi ezetoumen se

East Original
49 καὶ εἶπεν πρὸς αὐτούς· Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με;

Textus Receptus
49. και ειπεν προς αυτους τι οτι εζητειτε με ουκ ηδειτε οτι εν τοις του πατρος μου δει ειναι με 49. kai eipen pros autous ti oti ezeteite me ouk edeite oti en tois tou patros mou dei einai me

East Original
50 καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς.

Textus Receptus
50. και αυτοι ου συνηκαν το ρημα ο ελαλησεν αυτοις 50. kai autoi ou sunekan to rema o elalesen autois

| | | | |
|---|---|---|---|
| East Original | 51 καὶ κατέβη μετ’ αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέτ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. | Textus Receptus | 51. και κατεβη μετ αυτων και ηλθεν εις {VAR1: ναζαρετ } {VAR2: ναζαρεθ } και ην υποτασσομενος αυτοις και η μητηρ αυτου διετηρει παντα τα ρηματα ταυτα εν τη καρδια αυτης 51. kai kateβe met auton kai elthen eis {VAR1: nazaret } {VAR2: nazareth } kai en upotassomenos autois kai e meter autou dieterei panta ta remata tauta en te kardia autes |
| East Original | 52 Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις. | Textus Receptus | 52. και ιησους προεκοπτεν σοφια και ηλικια και χαριτι παρα θεω και ανθρωποις 52. kai iesous proekopten sofia kai elikia kai chariti para theo kai anthropois |

Κεφάλαιο 3

| | | | |
|---|---|---|---|
| East Original | 1 Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, | Textus Receptus | 1. εν ετει δε πεντεκαιδεκατω της ηγεμονιας τιβεριου καισαρος ηγεμονευοντος ποντιου πιλατου της ιουδαιας και τετραρχουντος της γαλιλαιας ηρωδου φιλιππου δε του αδελφου αυτου τετραρχουντος της ιτουραιας και τραχωνιτιδος χωρας και λυσανιου της αβιληνης τετραρχουντος 1. en etei de pentekaidekato tes egemonias tiβeriou kaisaros |

egemoneυontos pontioυ pilatoυ tes ioυdaias kai tetrarchoυntos tes galilaias erodoυ filippoυ de toυ adelfoυ aυtoυ tetrarchoυntos tes itoυraias kai trachonitidos choras kai lυsanioυ tes aβilenes tetrarchoυntos

East Original

2 ἐπὶ ἀρχιερέως Ἅννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ.

Textus Receptus

2. επ αρχιερεων αννα και καιαφα εγενετο ρημα θεου επι ιωαννην τον του ζαχαριου υιον εν τη ερημω 2. ep archiereon anna kai kaiafa egeneto rema theoυ epi ioannen ton toυ zacharioυ υion en te eremo

East Original

3 καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν,

Textus Receptus

3. και ηλθεν εις πασαν την περιχωρον του ιορδανου κηρυσσων βαπτισμα μετανοιας εις αφεσιν αμαρτιων 3. kai elthen eis pasan ten perichoron toυ iordanoυ kerυsson βaptisma metanoias eis afesin amartion

East Original

4 ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου λέγοντος· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑ τοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ·

Textus Receptus

4. ως γεγραπται εν βιβλω λογων ησαιου του προφητου λεγοντος φωνη βοωντος εν τη ερημω ετοιμασατε την οδον κυριου ευθειας ποιειτε τας τριβους αυτου 4. os gegraptai en βiβlo logon esaioυ toυ profetoυ legontos fone βoontos en te eremo etoimasate ten odon kυrioυ eυtheias poieite tas triβoυs aυtoυ

East Original

5 πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν

Textus Receptus

5. πασα φαραγξ πληρωθησεται και παν ορος

ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας,

και βουνος ταπεινωθησεται και εσται τα σκολια εις ευθειαν και αι τραχειαι εις οδους λειας 5. pasa faragks plerothesetai kai pan oros kai βounos tapeinothesetai kai estai ta skolia eis eutheian kai ai tracheiai eis odous leias

East Original

6 καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.

Textus Receptus

6. και οψεται πασα σαρξ το σωτηριον του θεου 6. kai opsetai pasa sarks to soterion tou theou

East Original

7 Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ’ αὐτοῦ· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;

Textus Receptus

7. ελεγεν ουν τοις εκπορευομενοις οχλοις βαπτισθηναι υπ αυτου γεννηματα εχιδνων τις υπεδειξεν υμιν φυγειν απο της μελλουσης οργης 7. elegen oun tois ekporeuomenois ochlois βaptisthenai up autou gennemata echidnon tis upedeiksen umin fugein apo tes mellouses orges

East Original

8 ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας· καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

Textus Receptus

8. ποιησατε ουν καρπους αξιους της μετανοιας και μη αρξησθε λεγειν εν εαυτοις πατερα εχομεν τον αβρααμ λεγω γαρ υμιν οτι δυναται ο θεος εκ των λιθων τουτων εγειραι τεκνα τω αβρααμ 8. poiesate oun karpous aksious tes metanoias kai me arksesthe legein en eautois patera echomen ton aβraam lego gar umin oti dunatai o theos ek ton lithon touton

egeirai tekna to aβraam

East Original

9 ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

Textus Receptus

9. ηδη δε και η αξινη προς την ριζαν των δενδρων κειται παν ουν δενδρον μη ποιουν καρπον καλον εκκοπτεται και εις πυρ βαλλεται 9. ede de kai e aksine pros ten rizan ton dendron keitai pan oυn dendron me poioυn karpon kalon ekkoptetai kai eis pυr βalletai

East Original

10 Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες· Τί οὖν ποιήσωμεν;

Textus Receptus

10. και επηρωτων αυτον οι οχλοι λεγοντες τι ουν ποιησομεν 10. kai eperoton aυton oi ochloi legontes ti oυn poiesomen

East Original

11 ἀποκριθεὶς δὲ λέγει αὐτοῖς· Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω.

Textus Receptus

11. αποκριθεις δε λεγει αυτοις ο εχων δυο χιτωνας μεταδοτω τω μη εχοντι και ο εχων βρωματα ομοιως ποιειτω 11. apokritheis de legei aυtois o echon dυo chitonas metadoto to me echonti kai o echon βromata omoios poieito

East Original

12 ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς αὐτόν· Διδάσκαλε, τί ποιήσωμεν;

Textus Receptus

12. ηλθον δε και τελωναι βαπτισθηναι και ειπον προς αυτον διδασκαλε τι ποιησομεν 12. elthon de kai telonai βaptisthenai kai eipon pros aυton didaskale ti poiesomen

East Original

13 ὁ δὲ εἶπε πρὸς αὐτούς· Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε.

Textus Receptus

13. ο δε ειπεν προς αυτους μηδεν πλεον παρα το διατεταγμενον υμιν πρασσετε 13. o de eipen pros aυtoυs meden pleon para to diatetagmenon υmin prassete

East Original

14 ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες· Καὶ ἡμεῖς τί ποιήσωμεν; καὶ εἶπε πρὸς αὐτούς· Μηδένα συκοφαντήσητε μηδὲ διασείσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.

Textus Receptus

14. επηρωτων δε αυτον και στρατευομενοι λεγοντες και ημεις τι ποιησομεν και ειπεν προς αυτους μηδενα διασεισητε μηδε συκοφαντησητε και αρκεισθε τοις οψωνιοις υμων 14. eperoton de auton kai strateuomenoi legontes kai emeis ti poiesomen kai eipen pros autous medena diaseisete mede sukofantesete kai arkeisthe tois opsoniois umon

East Original

15 Προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστός,

Textus Receptus

15. προσδοκωντος δε του λαου και διαλογιζομενων παντων εν ταις καρδιαις αυτων περι του ιωαννου μηποτε αυτος ειη ο χριστος 15. prosdokontos de tou laou kai dialogizomenon panton en tais kardiais auton peri tou ioannou mepote autos eie o christos

East Original

16 ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασι λέγων· Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί.

Textus Receptus

16. απεκρινατο ο ιωαννης απασιν λεγων εγω μεν υδατι βαπτιζω υμας ερχεται δε ο ισχυροτερος μου ου ουκ ειμι ικανος λυσαι τον ιμαντα των υποδηματων αυτου αυτος υμας βαπτισει εν πνευματι αγιω και πυρι 16. apekrinato o ioannes apasin legon ego men udati βaptizo umas erchetai de o ischuroteros mou ou ouk eimi ikanos lusai ton imanta ton upodematon autou autos umas βaptisei en pneumati agio kai puri

| | | | |
|---|---|---|---|
| East Original | 17 οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. | Textus Receptus | 17. ου το πτυον εν τη χειρι αυτου και διακαθαριει την αλωνα αυτου και συναξει τον σιτον εις την αποθηκην αυτου το δε αχυρον κατακαυσει πυρι ασβεστω 17. ou to ptuon en te cheiri autou kai diakathariei ten alona autou kai sunaksei ton siton eis ten apotheken autou to de achuron katakausei puri asβesto |
| East Original | 18 πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν. | Textus Receptus | 18. πολλα μεν ουν και ετερα παρακαλων ευηγγελιζετο τον λαον 18. polla men oun kai etera parakalon eueggelizeto ton laon |
| East Original | 19 ὁ δὲ Ἡρῴδης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ’ αὐτοῦ περὶ Ἡρῳδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ καὶ περὶ πάντων ὧν ἐποίησε πονηρῶν ὁ Ἡρῴδης, | Textus Receptus | 19. ο δε ηρωδης ο τετραρχης ελεγχομενος υπ αυτου περι ηρωδιαδος της γυναικος φιλιππου του αδελφου αυτου και περι παντων ων εποιησεν πονηρων ο ηρωδης 19. o de erodes o tetrarches elegchomenos up autou peri erodiados tes gunaikos filippou tou adelfou autou kai peri panton on epoiesen poneron o erodes |
| East Original | 20 προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. | Textus Receptus | 20. προσεθηκεν και τουτο επι πασιν και κατεκλεισεν τον ιωαννην εν τη φυλακη 20. prosetheken kai touto epi pasin kai katekleisen ton ioannen en te fulake |
| East Original | 21 Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα | Textus Receptus | 21. εγενετο δε εν τω βαπτισθηναι απαντα τον |

τὸν λαὸν καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου ἀνεῳχθῆναι τὸν οὐρανὸν

λαον και ιησου βαπτισθεντος και προσευχομενου ανεωχθηναι τον ουρανον 21. egeneto de en to βaptisthenai apanta ton laon kai iesou βaptisthentos kai proseuchomenou aneochthenai ton ouranon

East Original

22 καὶ καταβῆναι τὸ Πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡσεὶ περιστερὰν ἐπ’ αὐτόν, καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι λέγουσαν· Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ εὐδόκησα.

Textus Receptus

22. και καταβηναι το πνευμα το αγιον σωματικω ειδει ωσει περιστεραν επ αυτον και φωνην εξ ουρανου γενεσθαι λεγουσαν συ ει ο υιος μου ο αγαπητος εν σοι ηυδοκησα 22. kai kataβenai to pneuma to agion somatiko eidei osei peristeran ep auton kai fonen eks ouranou genesthai legousan su ei o uios mou o agapetos en soi eudokesa

East Original

23 Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος, ὢν, ὡς ἐνομίζετο, υἱός Ἰωσήφ, τοῦ Ἠλί,

Textus Receptus

23. και αυτος ην ο ιησους ωσει ετων τριακοντα αρχομενος ων ως ενομιζετο υιος ιωσηφ του ηλι 23. kai autos en o iesous osei eton triakonta archomenos on os enomizeto uios iosef tou eli

East Original

24 τοῦ Ματθάν, τοῦ Λευΐ, τοῦ Μελχί, τοῦ Ἰωαννᾶ, τοῦ Ἰωσήφ,

Textus Receptus

24. του ματθατ του λευι του μελχι του ιαννα του ιωσηφ 24. tou matthat tou leui tou melchi tou ianna tou iosef

East Original

25 τοῦ Ματταθίου, τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ Ἑσλίμ, τοῦ Ναγγαί,

Textus Receptus

25. του ματταθιου του αμως του ναουμ του εσλι του ναγγαι 25. tou mattathiou tou amos tou naoum tou esli tou naggai

| | | | |
|---|---|---|---|
| East Original | 26 τοῦ Μαάθ, τοῦ Ματταθίου τοῦ Σεμεΐ, τοῦ Ἰωσήφ, τοῦ Ἰωδᾶ, | Textus Receptus | 26. του μααθ του ματταθιου του σεμει του ιωσηφ του ιουδα 26. tou maath tou mattathiou tou semei tou iosef tou iouda |
| East Original | 27 τοῦ Ἰωαννάν, τοῦ Ρησᾶ, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιήλ, τοῦ Νηρί, | Textus Receptus | 27. του ιωαννα του ρησα του ζοροβαβελ του σαλαθιηλ του νηρι 27. tou ioanna tou resa tou zoroβaβel tou salathiel tou neri |
| East Original | 28 τοῦ Μελχί, τοῦ Ἀδδί, τοῦ Κωσάμ, τοῦ Ἐλμωδάμ, τοῦ Ἤρ, | Textus Receptus | 28. του μελχι του αδδι του κωσαμ του ελμωδαμ του ηρ 28. tou melchi tou addi tou kosam tou elmodam tou er |
| East Original | 29 τοῦ Ἰωσῆ, τοῦ Ἐλιέζερ, τοῦ Ἰωρείμ, τοῦ Ματθάτ, τοῦ Λευΐ, | Textus Receptus | 29. του ιωση του ελιεζερ του ιωρειμ του ματθατ του λευι 29. tou iose tou eliezer tou ioreim tou matthat tou leui |
| East Original | 30 τοῦ Συμεών, τοῦ Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνᾶ, τοῦ Ἐλιακείμ, | Textus Receptus | 30. του {VAR1: συμεων } {VAR2: σιμεων } του ιουδα του ιωσηφ του ιωναν του ελιακειμ 30. tou {VAR1: sumeon } {VAR2: simeon } tou iouda tou iosef tou ionan tou eliakeim |
| East Original | 31 τοῦ Μελεᾶ, τοῦ Μαϊνάν, τοῦ Ματταθᾶ, τοῦ Νάθαν, τοῦ Δαυΐδ, | Textus Receptus | 31. του μελεα του {VAR1: μαιναν } {VAR2: μεναμ } του ματταθα του ναθαν του δαβιδ 31. tou melea tou {VAR1: mainan } {VAR2: menam } tou mattatha tou nathan tou daβid |
| East Original | 32 τοῦ Ἰεσσαί, τοῦ Ὠβήδ, τοῦ Βοόζ, τοῦ Σαλμών, τοῦ Ναασσών, | Textus Receptus | 32. του ιεσσαι του ωβηδ του βοοζ του σαλμων του ναασσων 32. tou iessai tou oβed tou βooz tou salmon tou naasson |

| | | | |
|---|---|---|---|
| East Original | 33 τοῦ Ἀμιναδάβ, τοῦ Ἀράμ, τοῦ Ἰωράμ, τοῦ Ἑσρώμ, τοῦ Φαρές, τοῦ Ἰούδα, | Textus Receptus | 33. του αμιναδαβ του αραμ του εσρωμ του φαρες του ιουδα 33. tou aminadaβ tou aram tou esrom tou fares tou iouda |
| East Original | 34 τοῦ Ἰακώβ, τοῦ Ἰσαάκ, τοῦ Ἀβραάμ, τοῦ Θάρα, τοῦ Ναχώρ, | Textus Receptus | 34. του ιακωβ του ισαακ του αβρααμ του θαρα του ναχωρ 34. tou iakoβ tou isaak tou aβraam tou thara tou nachor |
| East Original | 35 τοῦ Σερούχ, τοῦ Ραγαῦ, τοῦ Φάλεκ, τοῦ Ἔβερ, τοῦ Σαλᾶ, | Textus Receptus | 35. του σαρουχ του ραγαυ του φαλεκ του εβερ του σαλα 35. tou sarouch tou ragau tou falek tou eβer tou sala |
| East Original | 36 τοῦ Καϊνάν, τοῦ Ἀρφαξάδ, τοῦ Σήμ, τοῦ Νῶε, τοῦ Λάμεχ, | Textus Receptus | 36. του καιναν του αρφαξαδ του σημ του νωε του λαμεχ 36. tou kainan tou arfaksad tou sem tou noe tou lamech |
| East Original | 37 τοῦ Μαθουσάλα, τοῦ Ἑνώχ, τοῦ Ἰάρεδ, τοῦ Μαλελεήλ, τοῦ Καϊνάν, | Textus Receptus | 37. του μαθουσαλα του ενωχ του ιαρεδ του μαλελεηλ του καιναν 37. tou mathousala tou enoch tou iared tou maleleel tou kainan |
| East Original | 38 τοῦ Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ Θεοῦ. | Textus Receptus | 38. του ενως του σηθ του αδαμ του θεου 38. tou enos tou seth tou adam tou theou |

Κεφάλαιο 4

| | | | |
|---|---|---|---|
| East Original | 1 Ἰησοῦς δὲ πλήρης Πνεύματος ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον | Textus Receptus | 1. ιησους δε πνευματος αγιου πληρης υπεστρεψεν απο του ιορδανου και ηγετο εν τω πνευματι εις την ερημον 1. iesous de |

pneυmatos agioυ pleres υpestrepsen apo toυ
iordanoυ kai egeto en to pneυmati eis ten
eremon

East Original
2 ἡμέρας τεσσαράκοντα πειραζόμενος
ὑπὸ τοῦ διαβόλου, καὶ οὐκ ἔφαγεν οὐδὲν
ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ
συντελεσθεισῶν αὐτῶν ὕστερον
ἐπείνασε.

Textus Receptus
2. ημερας τεσσαρακοντα πειραζομενος υπο
του διαβολου και ουκ εφαγεν ουδεν εν ταις
ημεραις εκειναις και συντελεσθεισων αυτων
υστερον επεινασεν 2. emeras tessarakonta
peirazomenos υpo toυ diaβoloυ kai oυk efagen
oυden en tais emerais ekeinais kai
sυntelestheison aυton υsteron epeinasen

East Original
3 καὶ εἶπεν αὐτῷ ὁ διάβολος· Εἰ υἱὸς εἶ τοῦ
Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται
ἄρτος.

Textus Receptus
3. και ειπεν αυτω ο διαβολος ει υιος ει του
θεου ειπε τω λιθω τουτω ινα γενηται αρτος 3.
kai eipen aυto o diaβolos ei υios ei toυ theoυ
eipe to litho toυto ina genetai artos

East Original
4 καὶ ἀπεκρίθη ὁ Ἰησοῦς πρὸς αὐτὸν
λέγων· Γέγραπται ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ
ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι
ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.

Textus Receptus
4. και απεκριθη ιησους προς αυτον λεγων
γεγραπται οτι ουκ επ αρτω μονω ζησεται ο
ανθρωπος αλλ επι παντι ρηματι θεου 4. kai
apekrithe iesoυs pros aυton legon gegraptai oti
oυk ep arto mono zesetai o anthropos all epi
panti remati theoυ

East Original
5 Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς
ὄρος ὑψηλὸν ἔδειξεν αὐτῷ πάσας τὰς
βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ

Textus Receptus
5. και αναγαγων αυτον ο διαβολος εις ορος
υψηλον εδειξεν αυτω πασας τας βασιλειας
της οικουμενης εν στιγμη χρονου 5. kai

χρόνου·

anagagon aυton o diaβolos eis oros υpselon edeiksen aυto pasas tas βasileias tes oikoυmenes en stigme chronoυ

East Original

6 καὶ εἶπεν αὐτῷ ὁ διάβολος· Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν·

Textus Receptus

6. και ειπεν αυτω ο διαβολος σοι δωσω την εξουσιαν ταυτην απασαν και την δοξαν αυτων οτι εμοι παραδεδοται και ω εαν θελω διδωμι αυτην 6. kai eipen aυto o diaβolos soi doso ten eksoυsian taυten apasan kai ten doksan aυton oti emoi paradedotai kai o ean thelo didomi aυten

East Original

7 σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σοῦ πᾶσα.

Textus Receptus

7. συ ουν εαν προσκυνησης ενωπιον μου εσται σου παντα 7. sυ oυn ean proskυneses enopion moυ estai soυ panta

East Original

8 καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν ὁ Ἰησοῦς· Ὕπαγε ὀπίσω μου σατανᾶ γέγραπται γὰρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις.

Textus Receptus

8. και αποκριθεις αυτω ειπεν ο ιησους υπαγε οπισω μου σατανα γεγραπται γαρ προσκυνησεις κυριον τον θεον σου και αυτω μονω λατρευσεις 8. kai apokritheis aυto eipen o iesoυs υpage opiso moυ satana gegraptai gar proskυneseis kυrion ton theon soυ kai aυto mono latreυseis

East Original

9 Καὶ ἤγαγεν αὐτὸν εἰς Ἱερουσόλυμα, καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ εἶπεν αὐτῷ· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε

Textus Receptus

9. και ηγαγεν αυτον εις ιερουσαλημ και εστησεν αυτον επι το πτερυγιον του ιερου και ειπεν αυτω ει ο υιος ει του θεου βαλε σεαυτον

σεαυτὸν ἐντεῦθεν κάτω·

εντευθεν κατω 9. kai egagen auton eis ierousalem kai estesen auton epi to pterugion tou ierou kai eipen auto ei o uios ei tou theou bale seauton enteuthen kato

East Original

10 γέγραπται γὰρ ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε,

Textus Receptus

10. γεγραπται γαρ οτι τοις αγγελοις αυτου εντελειται περι σου του διαφυλαξαι σε 10. gegraptai gar oti tois aggelois autou enteleitai peri sou tou diafulaksai se

East Original

11 καὶ ὅτι ἐπὶ χειρῶν ἀροῦσίν σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Textus Receptus

11. και οτι επι χειρων αρουσιν σε μηποτε προσκοψης προς λιθον τον ποδα σου 11. kai oti epi cheiron arousin se mepote proskopses pros lithon ton poda sou

East Original

12 καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Εἴρηται, οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.

Textus Receptus

12. και αποκριθεις ειπεν αυτω ο ιησους οτι ειρηται ουκ εκπειρασεις κυριον τον θεον σου 12. kai apokritheis eipen auto o iesous oti eiretai ouk ekpeiraseis kurion ton theon sou

East Original

13 Καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ’ αὐτοῦ ἄχρι καιροῦ.

Textus Receptus

13. και συντελεσας παντα πειρασμον ο διαβολος απεστη απ αυτου αχρι καιρου 13. kai suntelesas panta peirasmon o diabolos apeste ap autou achri kairou

East Original

14 Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν· καὶ φήμη ἐξῆλθε καθ’ ὅλης

Textus Receptus

East Original

51 ἀπὸ τοῦ αἵματος Ἄβελ ἕως τοῦ αἵματος Ζαχαρίου τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου·

Textus Receptus

51. απο του αιματος αβελ εως του αιματος ζαχαριου του απολομενου μεταξυ του θυσιαστηριου και του οικου ναι λεγω υμιν

ναί, λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης.

εκζητηθησεται απο της γενεας ταυτης 51. apo tou aimatos aβel eos tou aimatos zachariou tou apolomenou metaksu tou thusiasteriou kai tou oikou nai lego umin ekzetethesetai apo tes geneas tautes

East Original 52 οὐαὶ ὑμῖν τοῖς νομικοῖς ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε.

Textus Receptus 52. ουαι υμιν τοις νομικοις οτι ηρατε την κλειδα της γνωσεως αυτοι ουκ εισηλθετε και τους εισερχομενους εκωλυσατε 52. ouai umin tois nomikois oti erate ten kleida tes gnoseos autoi ouk eiselthete kai tous eiserchomenous ekolusate

East Original 53 λέγοντος δὲ αὐτοῦ πρὸς αὐτοὺς πάντα ταύτα ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων,

Textus Receptus 53. λεγοντος δε αυτου ταυτα προς αυτους ηρξαντο οι γραμματεις και οι φαρισαιοι δεινως ενεχειν και αποστοματιζειν αυτον περι πλειονων 53. legontos de autou tauta pros autous erksanto oi grammateis kai oi farisaioi deinos enechein kai apostomatizein auton peri pleionon

East Original 54 ἐνεδρεύοντες αὐτὸν, ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ.

Textus Receptus 54. ενεδρευοντες αυτον και ζητουντες θηρευσαι τι εκ του στοματος αυτου ινα κατηγορησωσιν αυτου 54. enedreuontes auton kai zetountes thereusai ti ek tou stomatos autou ina kategoresosin autou

## Κεφάλαιο 12

East Original

1 Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε καταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶτον· Προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις.

Textus Receptus

1. εν οις επισυναχθεισων των μυριαδων του οχλου ωστε καταπατειν αλληλους ηρξατο λεγειν προς τους μαθητας αυτου πρωτον προσεχετε εαυτοις απο της ζυμης των φαρισαιων ητις εστιν υποκρισις 1. en ois episunachtheison ton muriadon tou ochlou oste katapatein allelous erksato legein pros tous mathetas autou proton prosechete eautois apo tes zumes ton farisaion etis estin upokrisis

East Original

2 οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται·

Textus Receptus

2. ουδεν δε συγκεκαλυμμενον εστιν ο ουκ αποκαλυφθησεται και κρυπτον ο ου γνωσθησεται 2. ouden de sugkekalummenon estin o ouk apokalufthesetai kai krupton o ou gnosthesetai

East Original

3 ἀνθ’ ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται, καὶ, ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

Textus Receptus

3. ανθ ων οσα εν τη σκοτια ειπατε εν τω φωτι ακουσθησεται και ο προς το ους ελαλησατε εν τοις ταμειοις κηρυχθησεται επι των δωματων 3. anth on osa en te skotia eipate en to foti akousthesetai kai o pros to ous elalesate en tois tameiois keruchthesetai epi ton domaton

East Original

4 Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου· μὴ
φοβηθῆτε ἀπὸ τῶν ἀποκτεννόντων τὸ
σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων
περισσότερόν τι ποιῆσαι.

Textus Receptus

4. λεγω δε υμιν τοις φιλοις μου μη φοβηθητε
απο των αποκτεινοντων το σωμα και μετα
ταυτα μη εχοντων περισσοτερον τι ποιησαι 4.
lego de υmin tois filois moυ me foβethete apo
ton apokteinonton to soma kai meta taυta me
echonton perissoteron ti poiesai

East Original

5 ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε·
φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἔχοντα
ἐξουσίαν ἐμβαλεῖν εἰς τὴν γέενναν· ναί,
λέγω ὑμῖν, τοῦτον φοβήθητε.

Textus Receptus

5. υποδειξω δε υμιν τινα φοβηθητε φοβηθητε
τον μετα το αποκτειναι εξουσιαν εχοντα
εμβαλειν εις την γεενναν ναι λεγω υμιν
τουτον φοβηθητε 5. υpodeikso de υmin tina
foβethete foβethete ton meta to apokteinai
eksoυsian echonta emβalein eis ten geennan nai
lego υmin toυton foβethete

East Original

6 οὐχὶ πέντε στρουθία πωλεῖται
ἀσσαρίων δύο; καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν
ἐπιλελησμένον ἐνώπιον τοῦ Θεοῦ·

Textus Receptus

6. ουχι πεντε στρουθια πωλειται ασσαριων
δυο και εν εξ αυτων ουκ εστιν επιλελησμενον
ενωπιον του θεου 6. oυchi pente stroυthia
poleitai assarion dυo kai en eks aυton oυk estin
epilelesmenon enopion toυ theoυ

East Original

7 ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν
πᾶσαι ἠρίθμηνται. μὴ φοβεῖσθε· πολλῶν
στρουθίων διαφέρετε.

Textus Receptus

7. αλλα και αι τριχες της κεφαλης υμων
πασαι ηριθμηνται μη ουν φοβεισθε πολλων
στρουθιων διαφερετε 7. alla kai ai triches tes
kefales υmon pasai erithmentai me oυn
foβeisthe pollon stroυthion diaferete

East Original

8 Λέγω δὲ ὑμῖν· πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ·

Textus Receptus

8. λεγω δε υμιν πας ος αν ομολογηση εν εμοι εμπροσθεν των ανθρωπων και ο υιος του ανθρωπου ομολογησει εν αυτω εμπροσθεν των αγγελων του θεου 8. lego de umin pas os an omologese en emoi emprosthen ton anthropon kai o uios tou anthropou omologesei en auto emprosthen ton aggelon tou theou

East Original

9 ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ.

Textus Receptus

9. ο δε αρνησαμενος με ενωπιον των ανθρωπων απαρνηθησεται ενωπιον των αγγελων του θεου 9. o de arnesamenos me enopion ton anthropon aparnethesetai enopion ton aggelon tou theou

East Original

10 καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται.

Textus Receptus

10. και πας ος ερει λογον εις τον υιον του ανθρωπου αφεθησεται αυτω τω δε εις το αγιον πνευμα βλασφημησαντι ουκ αφεθησεται 10. kai pas os erei logon eis ton uion tou anthropou afethesetai auto to de eis to agion pneuma βlasfemesanti ouk afethesetai

East Original

11 ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε ἢ τί εἴπητε·

Textus Receptus

11. οταν δε προσφερωσιν υμας επι τας συναγωγας και τας αρχας και τας εξουσιας μη μεριμνατε πως η τι απολογησησθε η τι ειπητε 11. otan de prosferosin umas epi tas sunagogas kai tas archas kai tas eksousias me

merimnate pos e ti apologesesthe e ti eipete

East Original

12 τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Textus Receptus

12. το γαρ αγιον πνευμα διδαξει υμας εν αυτη τη ωρα α δει ειπειν 12. to gar agion pneuma didaksei υmas en aυte te ora a dei eipein

East Original

13 Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου· Διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι τὴν κληρονομίαν μετ᾽ ἐμοῦ.

Textus Receptus

13. ειπεν δε τις αυτω εκ του οχλου διδασκαλε ειπε τω αδελφω μου μερισασθαι μετ εμου την κληρονομιαν 13. eipen de tis aυto ek toυ ochloυ didaskale eipe to adelfo moυ merisasthai met emoυ ten kleronomian

East Original

14 ὁ δὲ εἶπεν αὐτῷ· Ἄνθρωπε, τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ᾽ ὑμᾶς;

Textus Receptus

14. ο δε ειπεν αυτω ανθρωπε τις με κατεστησεν δικαστην η μεριστην εφ υμας 14. o de eipen aυto anthrope tis me katestesen dikasten e meristen ef υmas

East Original

15 εἶπε δὲ πρὸς αὐτούς· Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ πάσης πλεονεξίας· ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ.

Textus Receptus

15. ειπεν δε προς αυτους ορατε και φυλασσεσθε απο της πλεονεξιας οτι ουκ εν τω περισσευειν τινι η ζωη αυτου εστιν εκ των υπαρχοντων αυτου 15. eipen de pros aυtoυs orate kai fυlassesthe apo tes pleoneksias oti oυk en to perisseυein tini e zoe aυtoυ estin ek ton υparchonton aυtoυ

East Original

16 Εἶπε δὲ παραβολὴν πρὸς αὐτοὺς λέγων· Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα·

Textus Receptus

16. ειπεν δε παραβολην προς αυτους λεγων ανθρωπου τινος πλουσιου ευφορησεν η χωρα 16. eipen de paraβolen pros aυtoυs legon

anthropou tinos plousiou euforesen e chora

East Original

17 καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων· τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου;

Textus Receptus

17. και διελογιζετο εν εαυτω λεγων τι ποιησω οτι ουκ εχω που συναξω τους καρπους μου 17. kai dielogizeto en eauto legon ti poieso oti ouk echo pou sunakso tous karpous mou

East Original

18 καὶ εἶπε· τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου καὶ τὰ ἀγαθά μου,

Textus Receptus

18. και ειπεν τουτο ποιησω καθελω μου τας αποθηκας και μειζονας οικοδομησω και συναξω εκει παντα τα γενηματα μου και τα αγαθα μου 18. kai eipen touto poieso kathelo mou tas apothekas kai meizonas oikodomeso kai sunakso ekei panta ta genemata mou kai ta agatha mou

East Original

19 καὶ ἐρῶ τῇ ψυχῇ μου· ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου.

Textus Receptus

19. και ερω τη ψυχη μου ψυχη εχεις πολλα αγαθα κειμενα εις ετη πολλα αναπαυου φαγε πιε ευφραινου 19. kai ero te psuche mou psuche echeis polla agatha keimena eis ete polla anapauou fage pie eufrainou

East Original

20 εἶπε δὲ αὐτῷ ὁ Θεός· ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας τίνι ἔσται;

Textus Receptus

20. ειπεν δε αυτω ο θεος {VAR1: αφρων } {VAR2: αφρον } ταυτη τη νυκτι την ψυχην σου απαιτουσιν απο σου α δε ητοιμασας τινι εσται 20. eipen de auto o theos {VAR1: afron } {VAR2: afron } taute te nukti ten psuchen sou apaitousin apo sou a de etoimasas tini estai

East Original
21 οὕτως ὁ θησαυρίζων ἑαυτῷ καὶ μὴ εἰς
Θεὸν πλουτῶν.

Textus Receptus
21. ουτως ο θησαυριζων εαυτω και μη εις θεον
πλουτων 21. outos o thesaurizon eauto kai me
eis theon plouton

East Original
22 Εἶπε δὲ πρὸς τοὺς μαθητάς αὐτοῦ· Διὰ
τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ
ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί
ἐνδύσησθε.

Textus Receptus
22. ειπεν δε προς τους μαθητας αυτου δια
τουτο υμιν λεγω μη μεριμνατε τη ψυχη υμων
τι φαγητε μηδε τω σωματι τι ενδυσησθε 22.
eipen de pros tous mathetas autou dia touto
umin lego me merimnate te psuche umon ti
fagete mede to somati ti endusesthe

East Original
23 οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς
καὶ τὸ σῶμα τοῦ ἐνδύματος;

Textus Receptus
23. η ψυχη πλειον εστιν της τροφης και το
σωμα του ενδυματος 23. e psuche pleion estin
tes trofes kai to soma tou endumatos

East Original
24 κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ
σπείρουσιν οὐδὲ θερίζουσιν, οἷς οὐκ ἔστι
ταμεῖον οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει
αὐτούς· πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε
τῶν πετεινῶν;

Textus Receptus
24. κατανοησατε τους κορακας οτι ου
σπειρουσιν ουδε θεριζουσιν οις ουκ εστιν
ταμειον ουδε αποθηκη και ο θεος τρεφει
αυτους ποσω μαλλον υμεις διαφερετε των
πετεινων 24. katanoesate tous korakas oti ou
speirousin oude therizousin ois ouk estin
tameion oude apotheke kai o theos trefei autous
poso mallon umeis diaferete ton peteinon

East Original
25 τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται
προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν
ἕνα;

Textus Receptus
25. τις δε εξ υμων μεριμνων δυναται
προσθειναι επι την ηλικιαν αυτου πηχυν ενα
25. tis de eks umon merimnon dunatai

prostheinai epi ten elikian aυtoυ pechυn ena

East Original

26 εἰ οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε;

Textus Receptus

26. ει ουν ουτε ελαχιστον δυνασθε τι περι των λοιπων μεριμνατε 26. ei oυn oυte elachiston dυnasthe ti peri ton loipon merimnate

East Original

27 κατανοήσατε τὰ κρίνα πῶς αὐξάνει· οὐ κοπιᾷ οὐδὲ νήθει· λέγω δὲ ὑμῖν, οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.

Textus Receptus

27. κατανοησατε τα κρινα πως αυξανει ου κοπια ουδε νηθει λεγω δε υμιν ουδε σολομων εν παση τη δοξη αυτου περιεβαλετο ως εν τουτων 27. katanoesate ta krina pos aυksanei oυ kopia oυde nethei lego de υmin oυde solomon en pase te dokse aυtoυ perieβaleto os en toυton

East Original

28 εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι;

Textus Receptus

28. ει δε τον χορτον εν τω αγρω σημερον οντα και αυριον εις κλιβανον βαλλομενον ο θεος ουτως αμφιεννυσιν ποσω μαλλον υμας ολιγοπιστοι 28. ei de ton chorton en to agro semeron onta kai aυrion eis kliβanon βallomenon o theos oυtos amfiennυsin poso mallon υmas oligopistoi

East Original

29 καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε καὶ τί πίητε, καὶ μὴ μετεωρίζεσθε·

Textus Receptus

29. και υμεις μη ζητειτε τι φαγητε η τι πιητε και μη μετεωριζεσθε 29. kai υmeis me zeteite ti fagete e ti piete kai me meteorizesthe

East Original

30 ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ· ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων·

Textus Receptus

30. ταυτα γαρ παντα τα εθνη του κοσμου επιζητει υμων δε ο πατηρ οιδεν οτι χρηζετε τουτων 30. taυta gar panta ta ethne toυ kosmoυ

epizetei υmon de o pater oiden oti chrezete
touton

East Original

31 πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ,
καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Textus Receptus

31. πλην ζητειτε την βασιλειαν του θεου και
ταυτα παντα προστεθησεται υμιν 31. plen
zeteite ten βasileian toυ theoυ kai taυta panta
prostethesetai υmin

East Original

32 Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον· ὅτι
εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν
βασιλείαν.

Textus Receptus

32. μη φοβου το μικρον ποιμνιον οτι
ευδοκησεν ο πατηρ υμων δουναι υμιν την
βασιλειαν 32. me foβoυ to mikron poimnion oti
eυdokesen o pater υmon doυnai υmin ten
βasileian

East Original

33 πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ
δότε ἐλεημοσύνην. ποιήσατε ἑαυτοῖς
βαλάντια μὴ παλαιούμενα, θησαυρὸν
ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου
κλέπτης οὐκ ἐγγίζει οὐδὲ σὴς διαφθείρει·

Textus Receptus

33. πωλησατε τα υπαρχοντα υμων και δοτε
ελεημοσυνην ποιησατε εαυτοις βαλαντια μη
παλαιουμενα θησαυρον ανεκλειπτον εν τοις
ουρανοις οπου κλεπτης ουκ εγγιζει ουδε σης
διαφθειρει 33. polesate ta υparchonta υmon kai
dote eleemosυnen poiesate eaυtois βalantia me
palaioυmena thesaυron anekleipton en tois
oυranois opoυ kleptes oυk eggizei oυde ses
diaftheirei

East Original

34 ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ
καὶ ἡ καρδία ὑμῶν ἔσται.

Textus Receptus

34. οπου γαρ εστιν ο θησαυρος υμων εκει και
η καρδια υμων εσται 34. opoυ gar estin o
thesaυros υmon ekei kai e kardia υmon estai

East Original

35 Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι·

Textus Receptus

35. εστωσαν υμων αι οσφυες περιεζωσμεναι και οι λυχνοι καιομενοι 35. estosan umon ai osfues periezosmenai kai oi luchnoi kaiomenoi

East Original

36 καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν πότε ἀναλύσῃ ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ.

Textus Receptus

36. και υμεις ομοιοι ανθρωποις προσδεχομενοις τον κυριον εαυτων ποτε αναλυσει εκ των γαμων ινα ελθοντος και κρουσαντος ευθεως ανοιξωσιν αυτω 36. kai umeis omoioi anthropois prosdechomenois ton kurion eauton pote analusei ek ton gamon ina elthontos kai krousantos eutheos anoiksosin auto

East Original

37 μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας. ἀμὴν λέγω ὑμῖν ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς.

Textus Receptus

37. μακαριοι οι δουλοι εκεινοι ους ελθων ο κυριος ευρησει γρηγορουντας αμην λεγω υμιν οτι περιζωσεται και ανακλινει αυτους και παρελθων διακονησει αυτοις 37. makarioi oi douloi ekeinoi ous elthon o kurios euresei gregorountas amen lego umin oti perizosetai kai anaklinei autous kai parelthon diakonesei autois

East Original

38 καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ καὶ εὕρῃ οὕτω, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.

Textus Receptus

38. και εαν ελθη εν τη δευτερα φυλακη και εν τη τριτη φυλακη ελθη και ευρη ουτως μακαριοι εισιν οι δουλοι εκεινοι 38. kai ean elthe en te deutera fulake kai en te trite fulake elthe kai eure outos makarioi eisin oi douloi

ekeinoi

East Original

39 τοῦτο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ.

Textus Receptus

39. τουτο δε γινωσκετε οτι ει ηδει ο οικοδεσποτης ποια ωρα ο κλεπτης ερχεται εγρηγορησεν αν και ουκ αν αφηκεν διορυγηναι τον οικον αυτου 39. touto de ginoskete oti ei edei o oikodespotes poia ora o kleptes erchetai egregoresen an kai ouk an afeken diorugenai ton oikon autou

East Original

40 καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Textus Receptus

40. και υμεις ουν γινεσθε ετοιμοι οτι η ωρα ου δοκειτε ο υιος του ανθρωπου ερχεται 40. kai umeis oun ginesthe etoimoi oti e ora ou dokeite o uios tou anthropou erchetai

East Original

41 εἶπε δὲ αὐτῷ ὁ Πέτρος· Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις ἢ καὶ πρὸς πάντας;

Textus Receptus

41. ειπεν δε αυτω ο πετρος κυριε προς ημας την παραβολην ταυτην λεγεις η και προς παντας 41. eipen de auto o petros kurie pros emas ten paraβolen tauten legeis e kai pros pantas

East Original

42 εἶπε δὲ ὁ Κύριος· Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον;

Textus Receptus

42. ειπεν δε ο κυριος τις αρα εστιν ο πιστος οικονομος και φρονιμος ον καταστησει ο κυριος επι της θεραπειας αυτου του διδοναι εν καιρω το σιτομετριον 42. eipen de o kurios tis ara estin o pistos oikonomos kai fronimos on katastesei o kurios epi tes therapeias autou tou

didonai en kairo to sitometrion

East Original

43 μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει οὕτω ποιοῦντα.

Textus Receptus

43. μακαριος ο δουλος εκεινος ον ελθων ο κυριος αυτου ευρησει ποιουντα ουτως 43. makarios o doulos ekeinos on elthon o kurios autou euresei poiounta outos

East Original

44 ἀληθῶς λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

Textus Receptus

44. αληθως λεγω υμιν οτι επι πασιν τοις υπαρχουσιν αυτου καταστησει αυτον 44. alethos lego umin oti epi pasin tois uparchousin autou katastesei auton

East Original

45 ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἔρχεσθαι, καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι,

Textus Receptus

45. εαν δε ειπη ο δουλος εκεινος εν τη καρδια αυτου χρονιζει ο κυριος μου ερχεσθαι και αρξηται τυπτειν τους παιδας και τας παιδισκας εσθιειν τε και πινειν και μεθυσκεσθαι 45. ean de eipe o doulos ekeinos en te kardia autou chronizei o kurios mou erchesthai kai arksetai tuptein tous paidas kai tas paidiskas esthiein te kai pinein kai methuskesthai

East Original

46 ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

Textus Receptus

46. ηξει ο κυριος του δουλου εκεινου εν ημερα η ου προσδοκα και εν ωρα η ου γινωσκει και διχοτομησει αυτον και το μερος αυτου μετα των απιστων θησει 46. eksei o kurios tou doulou ekeinou en emera e ou prosdoka kai en

ora e ou ginoskei kai dichotomesei auton kai to meros autou meta ton apiston thesei

East Original

47 ἐκεῖνος δὲ ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς·

Textus Receptus

47. εκεινος δε ο δουλος ο γνους το θελημα του κυριου εαυτου και μη ετοιμασας μηδε ποιησας προς το θελημα αυτου δαρησεται πολλας 47. ekeinos de o doulos o gnous to thelema tou kuriou eautou kai me etoimasas mede poiesas pros to thelema autou daresetai pollas

East Original

48 ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητηθήσεται παρ’ αὐτοῦ, καὶ ᾧ παρέθεντο πολύ, περισσότερον αἰτήσουσιν αὐτόν.

Textus Receptus

48. ο δε μη γνους ποιησας δε αξια πληγων δαρησεται ολιγας παντι δε ω εδοθη πολυ πολυ ζητηθησεται παρ αυτου και ω παρεθεντο πολυ περισσοτερον αιτησουσιν αυτον 48. o de me gnous poiesas de aksia plegon daresetai oligas panti de o edothe polu polu zetethesetai par autou kai o parethento polu perissoteron aitesousin auton

East Original

49 Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη!

Textus Receptus

49. πυρ ηλθον βαλειν εις την γην και τι θελω ει ηδη ανηφθη 49. pur elthon βalein eis ten gen kai ti thelo ei ede anefthe

East Original

50 βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ!

Textus Receptus

50. βαπτισμα δε εχω βαπτισθηναι και πως συνεχομαι εως ου τελεσθη 50. βaptisma de echo βaptisthenai kai pos sunechomai eos ou

telesthe

East Original 51 δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; οὐχί, λέγω ὑμῖν, ἀλλ’ ἢ διαμερισμόν.

Textus Receptus 51. δοκειτε οτι ειρηνην παρεγενομην δουναι εν τη γη ουχι λεγω υμιν αλλ η διαμερισμον 51. dokeite oti eirenen paregenomen doυnai en te ge oυchi lego υmin all e diamerismon

East Original 52 ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ καὶ δύο ἐπὶ τρισί·

Textus Receptus 52. εσονται γαρ απο του νυν πεντε εν οικω ενι διαμεμερισμενοι τρεις επι δυσιν και δυο επι τρισιν 52. esontai gar apo toυ nυn pente en oiko eni diamemerismenoi treis epi dυsin kai dυo epi trisin

East Original 53 διαμερισθήσονται πατὴρ ἐπὶ υἱῷ καὶ υἱὸς ἐπὶ πατρί, μήτηρ ἐπὶ θυγατρὶ καὶ θυγάτηρ ἐπὶ μητρί, πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς καὶ νύμφη ἐπὶ τὴν πενθεράν αὐτῆς.

Textus Receptus 53. διαμερισθησεται πατηρ εφ υιω και υιος επι πατρι μητηρ επι θυγατρι και θυγατηρ επι μητρι πενθερα επι την νυμφην αυτης και νυμφη επι την πενθεραν αυτης 53. diameristhesetai pater ef υio kai υios epi patri meter epi thυgatri kai thυgater epi metri penthera epi ten nυmfen aυtes kai nυmfe epi ten pentheran aυtes

East Original 54 Ἔλεγε δὲ καὶ τοῖς ὄχλοις· Ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε, ὄμβρος ἔρχεται, καὶ γίνεται οὕτω·

Textus Receptus 54. ελεγεν δε και τοις οχλοις οταν ιδητε την νεφελην ανατελλουσαν απο δυσμων ευθεως λεγετε ομβρος ερχεται και γινεται ουτως 54. elegen de kai tois ochlois otan idete ten nefelen anatelloυsan apo dυsmon eυtheos legete omβros

erchetai kai ginetai oυtos

East Original
55 καὶ ὅταν νότον πνέοντα, λέγετε ὅτι καύσων ἔσται, καὶ γίνεται.

Textus Receptus
55. και οταν νοτον πνεοντα λεγετε οτι καυσων εσται και γινεται 55. kai otan noton pneonta legete oti kaυson estai kai ginetai

East Original
56 ὑποκριταί, τὸ πρόσωπον τοῦ οὐρανοῦ καὶ τῆς γῆς οἴδατε δοκιμάζειν, τὸν δὲ καιρὸν τοῦτον πῶς οὐ δοκιμάζετε;

Textus Receptus
56. υποκριται το προσωπον {VAR1: της γης και του ουρανου } {VAR2: του ουρανου και της γης } οιδατε δοκιμαζειν τον δε καιρον τουτον πως ου δοκιμαζετε 56. υpokritai to prosopon {VAR1: tes ges kai toυ oυranoυ } {VAR2: toυ oυranoυ kai tes ges } oidate dokimazein ton de kairon toυton pos oυ dokimazete

East Original
57 τί δὲ καὶ ἀφ’ ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον;

Textus Receptus
57. τι δε και αφ εαυτων ου κρινετε το δικαιον 57. ti de kai af eaυton oυ krinete to dikaion

East Original
58 ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ’ ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ’ αὐτοῦ, μήποτε κατασύρῃ σε πρὸς τὸν κριτήν, καὶ ὁ κριτής σε παραδῷ τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε βαλεῖ εἰς φυλακήν.

Textus Receptus
58. ως γαρ υπαγεις μετα του αντιδικου σου επ αρχοντα εν τη οδω δος εργασιαν απηλλαχθαι απ αυτου μηποτε κατασυρη σε προς τον κριτην και ο κριτης σε παραδω τω πρακτορι και ο πρακτωρ σε βαλλη εις φυλακην 58. os gar υpageis meta toυ antidikoυ soυ ep archonta en te odo dos ergasian apellachthai ap aυtoυ mepote katasυre se pros ton kriten kai o krites se parado to praktori kai o praktor se βalle eis fυlaken

East Original 59 λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς.

Textus Receptus 59. λεγω σοι ου μη εξελθης εκειθεν εως ου και το εσχατον λεπτον αποδως 59. lego soi ou me ekselthes ekeithen eos ou kai to eschaton lepton apodos

Κεφάλαιο 13

East Original 1 Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλᾶτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν.

Textus Receptus 1. παρησαν δε τινες εν αυτω τω καιρω απαγγελλοντες αυτω περι των γαλιλαιων ων το αιμα πιλατος εμιξεν μετα των θυσιων αυτων 1. paresan de tines en auto to kairo apaggellontes auto peri ton galilaion on to aima pilatos emiksen meta ton thusion auton

East Original 2 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν;

Textus Receptus 2. και αποκριθεις ο ιησους ειπεν αυτοις δοκειτε οτι οι γαλιλαιοι ουτοι αμαρτωλοι παρα παντας τους γαλιλαιους εγενοντο οτι τοιαυτα πεπονθασιν 2. kai apokritheis o iesous eipen autois dokeite oti oi galilaioi outoi amartoloi para pantas tous galilaious egenonto oti toiauta peponthasin

East Original 3 οὐχί, λέγω ὑμῖν, ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε.

Textus Receptus 3. ουχι λεγω υμιν αλλ εαν μη μετανοητε παντες ωσαυτως απολεισθε 3. ouchi lego umin all ean me metanoete pantes osautos apoleisthe

East Original

4 ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ καὶ ἀπέκτεινεν αὐτούς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ;

Textus Receptus

4. η εκεινοι οι δεκα και οκτω εφ ους επεσεν ο πυργος εν τω σιλωαμ και απεκτεινεν αυτους δοκειτε οτι ουτοι οφειλεται εγενοντο παρα παντας ανθρωπους τους κατοικουντας εν ιερουσαλημ 4. e ekeinoi oi deka kai okto ef ous epesen o purgos en to siloam kai apekteinen autous dokeite oti outoi ofeiletai egenonto para pantas anthropous tous katoikountas en ierousalem

East Original

5 οὐχί, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοήσητε, πάντες ὁμοίως ἀπολεῖσθε.

Textus Receptus

5. ουχι λεγω υμιν αλλ εαν μη μετανοητε παντες ομοιως απολεισθε 5. ouchi lego umin all ean me metanoete pantes omoios apoleisthe

East Original

6 Ἔλεγεν δὲ ταύτην τὴν παραβολήν· Συκῆν εἶχέν τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην, καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν.

Textus Receptus

6. ελεγεν δε ταυτην την παραβολην συκην ειχεν τις εν τω αμπελωνι αυτου πεφυτευμενην και ηλθεν καρπον ζητων εν αυτη και ουχ ευρεν 6. elegen de tauten ten paraβolen suken eichen tis en to ampeloni autou pefuteumenen kai elthen karpon zeton en aute kai ouch euren

East Original

7 εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· ἰδοὺ τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἱνατί καὶ τὴν γῆν καταργεῖ;

Textus Receptus

7. ειπεν δε προς τον αμπελουργον ιδου τρια ετη ερχομαι ζητων καρπον εν τη συκη ταυτη και ουχ ευρισκω εκκοψον αυτην ινα τι και την γην καταργει 7. eipen de pros ton ampelourgon

idou tria ete erchomai zeton karpon en te suke taute kai ouch eurisko ekkopson auten ina ti kai ten gen katargei

East Original 8 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ βάλω κόπρια.

Textus Receptus 8. ο δε αποκριθεις λεγει αυτω κυριε αφες αυτην και τουτο το ετος εως οτου σκαψω περι αυτην και βαλω κοπριαν 8. o de apokritheis legei auto kurie afes auten kai touto to etos eos otou skapso peri auten kai βalo koprian

East Original 9 κἂν μὲν ποιήσῃ καρπὸν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν.

Textus Receptus 9. καν μεν ποιηση καρπον ει δε μηγε εις το μελλον εκκοψεις αυτην 9. kan men poiese karpon ei de mege eis to mellon ekkopseis auten

East Original 10 Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασι.

Textus Receptus 10. ην δε διδασκων εν μια των συναγωγων εν τοις σαββασιν 10. en de didaskon en mia ton sunagogon en tois saββasin

East Original 11 καὶ ἰδοὺ γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ, καὶ ἦν συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές.

Textus Receptus 11. και ιδου γυνη ην πνευμα εχουσα ασθενειας ετη δεκα και οκτω και ην συγκυπτουσα και μη δυναμενη ανακυψαι εις το παντελες 11. kai idou gune en pneuma echousa astheneias ete deka kai okto kai en sugkuptousa kai me dunamene anakupsai eis to panteles

East Original 12 ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς προσεφώνησε καὶ εἶπεν αὐτῇ· Γύναι, ἀπολέλυσαι τῆς

Textus Receptus 12. ιδων δε αυτην ο ιησους προσεφωνησεν και ειπεν αυτη γυναι απολελυσαι της ασθενειας

ἀσθενείας σου·

σου 12. idon de auten o iesous prosefonesen kai eipen aute gunai apolelusai tes astheneias sou

East Original

13 καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας· καὶ παραχρῆμα ἀνωρθώθη καὶ ἐδόξαζε τὸν Θεόν.

Textus Receptus

13. και επεθηκεν αυτη τας χειρας και παραχρημα ανωρθωθη και εδοξαζεν τον θεον 13. kai epetheken aute tas cheiras kai parachrema anorthothe kai edoksazen ton theon

East Original

14 ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ· Ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου.

Textus Receptus

14. αποκριθεις δε ο αρχισυναγωγος αγανακτων οτι τω σαββατω εθεραπευσεν ο ιησους ελεγεν τω οχλω εξ ημεραι εισιν εν αις δει εργαζεσθαι εν ταυταις ουν ερχομενοι θεραπευεσθε και μη τη ημερα του σαββατου 14. apokritheis de o archisunagogos aganakton oti to saββato etherapeusen o iesous elegen to ochlo eks emerai eisin en ais dei ergazesthai en tautais oun erchomenoi therapeuesthe kai me te emera tou saββatou

East Original

15 ἀπεκρίθη οὖν αὐτῷ ὁ Κύριος καὶ εἶπεν· Ὑποκριτά· ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης καὶ ἀπαγαγὼν ποτίζει;

Textus Receptus

15. απεκριθη ουν αυτω ο κυριος και ειπεν υποκριτα εκαστος υμων τω σαββατω ου λυει τον βουν αυτου η τον ονον απο της φατνης και απαγαγων ποτιζει 15. apekrithe oun auto o kurios kai eipen upokrita ekastos umon to saββato ou luei ton βoun autou e ton onon apo tes fatnes kai apagagon potizei

East Original

16 ταύτην δὲ, θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου;

Textus Receptus

16. ταυτην δε θυγατερα αβρααμ ουσαν ην εδησεν ο σατανας ιδου δεκα και οκτω ετη ουκ εδει λυθηναι απο του δεσμου τουτου τη ημερα του σαββατου 16. tauten de thugatera aβraam ousan en edesen o satanas idou deka kai okto ete ouk edei luthenai apo tou desmou toutou te emera tou saββatou

East Original

17 καὶ ταῦτα λέγοντος αὐτοῦ κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ’ αὐτοῦ.

Textus Receptus

17. και ταυτα λεγοντος αυτου κατησχυνοντο παντες οι αντικειμενοι αυτω και πας ο οχλος εχαιρεν επι πασιν τοις ενδοξοις τοις γινομενοις υπ αυτου 17. kai tauta legontos autou kateschunonto pantes oi antikeimenoi auto kai pas o ochlos echairen epi pasin tois endoksois tois ginomenois up autou

East Original

18 Ἔλεγε δὲ· Τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ τίνι ὁμοιώσω αὐτήν;

Textus Receptus

18. ελεγεν δε τινι ομοια εστιν η βασιλεια του θεου και τινι ομοιωσω αυτην 18. elegen de tini omoia estin e βasileia tou theou kai tini omoioso auten

East Original

19 ὁμοία ἐστὶ κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ· καὶ ηὔξησε καὶ ἐγένετο εἰς δένδρον μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ.

Textus Receptus

19. ομοια εστιν κοκκω σιναπεως ον λαβων ανθρωπος εβαλεν εις κηπον εαυτου και ηυξησεν και εγενετο εις δενδρον μεγα και τα πετεινα του ουρανου κατεσκηνωσεν εν τοις κλαδοις αυτου 19. omoia estin kokko sinapeos

| | | | |
|---|---|---|---|
| | | | on labon anthropos ebalen eis kepon eautou kai euksesen kai egeneto eis dendron mega kai ta peteina tou ouranou kateskenosen en tois kladois autou |
| East Original | 20 Πάλιν εἶπε· Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ; | Textus Receptus | 20. και παλιν ειπεν τινι ομοιωσω την βασιλειαν του θεου 20. kai palin eipen tini omoioso ten basileian tou theou |
| East Original | 21 ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον. | Textus Receptus | 21. ομοια εστιν ζυμη ην λαβουσα γυνη ενεκρυψεν εις αλευρου σατα τρια εως ου εζυμωθη ολον 21. omoia estin zume en labousa gune enekrupsen eis aleurou sata tria eos ou ezumothe olon |
| East Original | 22 Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων καὶ πορείαν ποιούμενος εἰς Ἱεροσαλήμ. | Textus Receptus | 22. και διεπορευετο κατα πολεις και κωμας διδασκων και πορειαν ποιουμενος εις ιερουσαλημ 22. kai dieporeueto kata poleis kai komas didaskon kai poreian poioumenos eis ierousalem |
| East Original | 23 εἶπε δέ τις αὐτῷ· Κύριε, εἰ ὀλίγοι οἱ σῳζόμενοι; ὁ δὲ εἶπε πρὸς αὐτούς· | Textus Receptus | 23. ειπεν δε τις αυτω κυριε ει ολιγοι οι σωζομενοι ο δε ειπεν προς αυτους 23. eipen de tis auto kurie ei oligoi oi sozomenoi o de eipen pros autous |
| East Original | 24 Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν | Textus Receptus | 24. αγωνιζεσθε εισελθειν δια της στενης πυλης οτι πολλοι λεγω υμιν ζητησουσιν |

εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσιν.

εισελθειν και ουκ ισχυσουσιν 24. agonizesthe eiselthein dia tes stenes pυles oti polloi lego υmin zetesoυsin eiselthein kai oυk ischυsoυsin

East Original

25 ἀφ’ οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι καὶ κρούειν τὴν θύραν λέγοντες· Κύριε Κύριε, ἄνοιξον ἡμῖν· καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ.

Textus Receptus

25. αφ ου αν εγερθη ο οικοδεσποτης και αποκλειση την θυραν και αρξησθε εξω εσταναι και κρουειν την θυραν λεγοντες κυριε κυριε ανοιξον ημιν και αποκριθεις ερει υμιν ουκ οιδα υμας ποθεν εστε 25. af oυ an egerthe o oikodespotes kai apokleise ten thυran kai arksesthe ekso estanai kai kroυein ten thυran legontes kυrie kυrie anoikson emin kai apokritheis erei υmin oυk oida υmas pothen este

East Original

26 τότε ἄρξεσθε λέγειν· ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας·

Textus Receptus

26. τοτε αρξεσθε λεγειν εφαγομεν ενωπιον σου και επιομεν και εν ταις πλατειαις ημων εδιδαξας 26. tote arksesthe legein efagomen enopion soυ kai epiomen kai en tais plateiais emon edidaksas

East Original

27 καὶ ἐρεῖ· λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· ἀπόστητε ἀπ’ ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας.

Textus Receptus

27. και ερει λεγω υμιν ουκ οιδα υμας ποθεν εστε αποστητε απ εμου παντες οι εργαται της αδικιας 27. kai erei lego υmin oυk oida υmas pothen este apostete ap emoυ pantes oi ergatai tes adikias

East Original

28 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν ὄψεσθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω,

Textus Receptus

28. εκει εσται ο κλαυθμος και ο βρυγμος των
οδοντων οταν οψησθε αβρααμ και ισαακ και
ιακωβ και παντας τους προφητας εν τη
βασιλεια του θεου υμας δε εκβαλλομενους
εξω 28. ekei estai o klauthmos kai o βrugmos
ton odonton otan opsesthe aβraam kai isaak kai
iakoβ kai pantas tous profetas en te βasileia tou
theou umas de ekβallomenous ekso

East Original

29 καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ ἀπὸ βορρᾶ καὶ νότου, καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

Textus Receptus

29. και ηξουσιν απο ανατολων και δυσμων
και απο βορρα και νοτου και ανακλιθησονται
εν τη βασιλεια του θεου 29. kai eksousin apo
anatolon kai dusmon kai apo βorra kai notou
kai anaklithesontai en te βasileia tou theou

East Original

30 καὶ ἰδοὺ εἰσιν ἔσχατοι οἳ ἔσονται πρῶτοι, καὶ εἰσὶ πρῶτοι οἳ ἔσονται ἔσχατοι.

Textus Receptus

30. και ιδου εισιν εσχατοι οι εσονται πρωτοι
και εισιν πρωτοι οι εσονται εσχατοι 30. kai
idou eisin eschatoi oi esontai protoi kai eisin
protoi oi esontai eschatoi

East Original

31 Ἐν αὐτῇ τῇ ἡμέρᾳ προσῆλθόν τινες Φαρισαῖοι λέγοντες αὐτῷ· Ἔξελθε καὶ πορεύου ἐντεῦθεν, ὅτι Ἡρῴδης θέλει σε ἀποκτεῖναι.

Textus Receptus

31. εν αυτη τη ημερα προσηλθον τινες
φαρισαιοι λεγοντες αυτω εξελθε και πορευου
εντευθεν οτι ηρωδης θελει σε αποκτειναι 31.
en aute te emera proselthon tines farisaioi
legontes auto ekselthe kai poreuou enteuthen oti
erodes thelei se apokteinai

East Original

32 καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ· ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι·

Textus Receptus

32. και ειπεν αυτοις πορευθεντες ειπατε τη αλωπεκι ταυτη ιδου εκβαλλω δαιμονια και ιασεις επιτελω σημερον και αυριον και τη τριτη τελειουμαι 32. kai eipen autois poreυthentes eipate te alopeki taυte idoυ ekβallo daimonia kai iaseis epitelo semeron kai aυrion kai te trite teleioυmai

East Original

33 πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι, ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλήμ.

Textus Receptus

33. πλην δει με σημερον και αυριον και τη εχομενη πορευεσθαι οτι ουκ ενδεχεται προφητην απολεσθαι εξω ιερουσαλημ 33. plen dei me semeron kai aυrion kai te echomene poreυesthai oti oυk endechetai profeten apolesthai ekso ierouυsalem

East Original

34 Ἱερουσαλὴμ Ἱερουσαλήμ, ἡ ἀποκτένουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν! ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε!

Textus Receptus

34. ιερουσαλημ ιερουσαλημ η αποκτεινουσα τους προφητας και λιθοβολουσα τους απεσταλμενους προς αυτην ποσακις ηθελησα επισυναξαι τα τεκνα σου ον τροπον ορνις την εαυτης νοσσιαν υπο τας πτερυγας και ουκ ηθελησατε 34. ieroυsalem ieroυsalem e apokteinoυsa toυs profetas kai lithoβoloυsa toυs apestalmenoυs pros aυten posakis ethelesa episυnaksai ta tekna soυ on tropon ornis ten eaυtes nossian υpo tas pterυgas kai oυk ethelesate

East Original

35 ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ με ἴδητε ἕως ἂν ἥξῃ ὅτε εἴπητε· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Textus Receptus

35. ιδου αφιεται υμιν ο οικος υμων ερημος αμην δε λεγω υμιν οτι ου μη με ιδητε εως αν ηξη οτε ειπητε ευλογημενος ο ερχομενος εν ονοματι κυριου 35. idou afietai umin o oikos umon eremos amen de lego umin oti ou me me idete eos an ekse ote eipete eulogemenos o erchomenos en onomati kuriou

## Κεφάλαιο 14

East Original

1 Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν Φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν.

Textus Receptus

1. και εγενετο εν τω ελθειν αυτον εις οικον τινος των αρχοντων των φαρισαιων σαββατω φαγειν αρτον και αυτοι ησαν παρατηρουμενοι αυτον 1. kai egeneto en to elthein auton eis oikon tinos ton archonton ton farisaion saββato fagein arton kai autoi esan paraterouμenoi auton

East Original

2 καὶ ἰδοὺ ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ.

Textus Receptus

2. και ιδου ανθρωπος τις ην υδρωπικος εμπροσθεν αυτου 2. kai idou anthropos tis en udropikos emprosthen autou

East Original

3 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς νομικοὺς καὶ Φαρισαίους λέγων· Εἰ ἔξεστι τῷ σαββάτῳ θεραπεύειν; οἱ δὲ ἡσύχασαν.

Textus Receptus

3. και αποκριθεις ο ιησους ειπεν προς τους νομικους και φαρισαιους λεγων ει εξεστιν τω σαββατω θεραπευειν 3. kai apokritheis o

iesous eipen pros tous nomikous kai farisaious legon ei eksestin to saββato therapeuein

East Original 4 καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν καὶ ἀπέλυσε.

Textus Receptus 4. οι δε ησυχασαν και επιλαβομενος ιασατο αυτον και απελυσεν 4. oi de esuchasan kai epilaβomenos iasato auton kai apelusen

East Original 5 καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε· Τίνος ὑμῶν υἱὸς ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου;

Textus Receptus 5. και αποκριθεις προς αυτους ειπεν τινος υμων ονος η βους εις φρεαρ εμπεσειται και ουκ ευθεως ανασπασει αυτον εν τη ημερα του σαββατου 5. kai apokritheis pros autous eipen tinos umon onos e βous eis frear empeseitai kai ouk eutheos anaspasei auton en te emera tou saββatou

East Original 6 καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα.

Textus Receptus 6. και ουκ ισχυσαν ανταποκριθηναι αυτω προς ταυτα 6. kai ouk ischusan antapokrithenai auto pros tauta

East Original 7 Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς·

Textus Receptus 7. ελεγεν δε προς τους κεκλημενους παραβολην επεχων πως τας πρωτοκλισιας εξελεγοντο λεγων προς αυτους 7. elegen de pros tous keklemenous paraβolen epechon pos tas protoklisias ekselegonto legon pros autous

East Original 8 Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος

Textus Receptus 8. οταν κληθης υπο τινος εις γαμους μη κατακλιθης εις την πρωτοκλισιαν μηποτε εντιμοτερος σου η κεκλημενος υπ αυτου 8.

ὑπ’ αὐτοῦ,

otan klethes υpo tinos eis gamoυs me kataklithes eis ten protoklisian mepote entimoteros soυ e keklemenos υp aυtoυ

East Original

9 καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ σοι· δὸς τούτῳ τόπον· καὶ τότε ἄρξῃ μετ’ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν.

Textus Receptus

9. και ελθων ο σε και αυτον καλεσας ερει σοι δος τουτω τοπον και τοτε αρξη μετ αισχυνης τον εσχατον τοπον κατεχειν 9. kai elthon o se kai aυton kalesas erei soi dos toυto topon kai tote arkse met aischυnes ton eschaton topon katechein

East Original

10 ἀλλ’ ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε εἴπῃ σοι· φίλε, προσανάβηθι ἀνώτερον· τότε ἔσται σοι δόξα ἐνώπιον πάντων τῶν συνανακειμένων σοι.

Textus Receptus

10. αλλ οταν κληθης πορευθεις αναπεσον εις τον εσχατον τοπον ινα οταν ελθη ο κεκληκως σε ειπη σοι φιλε προσαναβηθι ανωτερον τοτε εσται σοι δοξα ενωπιον των συνανακειμενων σοι 10. all otan klethes poreυtheis anapeson eis ton eschaton topon ina otan elthe o keklekos se eipe soi file prosanaβethi anoteron tote estai soi doksa enopion ton sυnanakeimenon soi

East Original

11 ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.

Textus Receptus

11. οτι πας ο υψων εαυτον ταπεινωθησεται και ο ταπεινων εαυτον υψωθησεται 11. oti pas o υpson eaυton tapeinothesetai kai o tapeinon eaυton υpsothesetai

East Original

12 Ἔλεγε δὲ καὶ τῷ κεκληκότι αὐτόν· Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει

Textus Receptus

12. ελεγεν δε και τω κεκληκοτι αυτον οταν ποιης αριστον η δειπνον μη φωνει τους

τοὺς φίλους σου μηδὲ τοὺς ἀδελφούς σου μηδὲ τοὺς συγγενεῖς σου μηδὲ γείτονας πλουσίους, μήποτε καὶ αὐτοὶ σε ἀντικαλέσωσι, σε καὶ γενήσεταί σοι ἀνταπόδομα.

φιλους σου μηδε τους αδελφους σου μηδε τους συγγενεις σου μηδε γειτονας πλουσιους μηποτε και αυτοι σε αντικαλεσωσιν και γενηται σοι ανταποδομα 12. elegen de kai to keklekoti auton otan poies ariston e deipnon me fonei tous filous sou mede tous adelfous sou mede tous suggeneis sou mede geitonas plousious mepote kai autoi se antikalesosin kai genetai soi antapodoma

East Original

13 ἀλλ’ ὅταν ποιῇς δοχὴν, κάλει πτωχούς, ἀναπήρους, χωλούς, τυφλούς,

Textus Receptus

13. αλλ οταν ποιης δοχην καλει πτωχους αναπηρους χωλους τυφλους 13. all otan poies dochen kalei ptochous anaperous cholous tuflous

East Original

14 καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων.

Textus Receptus

14. και μακαριος εση οτι ουκ εχουσιν ανταποδουναι σοι ανταποδοθησεται γαρ σοι εν τη αναστασει των δικαιων 14. kai makarios ese oti ouk echousin antapodounai soi antapodothesetai gar soi en te anastasei ton dikaion

East Original

15 Ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα εἶπεν αὐτῷ· Μακάριος ὅς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

Textus Receptus

15. ακουσας δε τις των συνανακειμενων ταυτα ειπεν αυτω μακαριος ος φαγεται αρτον εν τη βασιλεια του θεου 15. akousas de tis ton sunanakeimenon tauta eipen auto makarios os

fagetai arton en te βasileia tou theou

East Original

16 ὁ δὲ εἶπεν αὐτῷ· Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς·

Textus Receptus

16. ο δε ειπεν αυτω ανθρωπος τις εποιησεν δειπνον μεγα και εκαλεσεν πολλους 16. o de eipen auto anthropos tis epoiesen deipnon mega kai ekalesen pollous

East Original

17 καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα.

Textus Receptus

17. και απεστειλεν τον δουλον αυτου τη ωρα του δειπνου ειπειν τοις κεκλημενοις ερχεσθε οτι ηδη ετοιμα εστιν παντα 17. kai apesteilen ton doulon autou te ora tou deipnou eipein tois keklemenois erchesthe oti ede etoima estin panta

East Original

18 καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες, ὁ πρῶτος εἶπεν αὐτῷ· ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε με παρῃτημένον.

Textus Receptus

18. και ηρξαντο απο μιας παραιτεισθαι παντες ο πρωτος ειπεν αυτω αγρον ηγορασα και εχω αναγκην εξελθειν και ιδειν αυτον ερωτω σε εχε με παρητημενον 18. kai erksanto apo mias paraiteisthai pantes o protos eipen auto agron egorasa kai echo anagken ekselthein kai idein auton eroto se eche me paretemenon

East Original

19 καὶ ἕτερος εἶπε· ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά· ἐρωτῶ σε, ἔχε με παρῃτημένον.

Textus Receptus

19. και ετερος ειπεν ζευγη βοων ηγορασα πεντε και πορευομαι δοκιμασαι αυτα ερωτω σε εχε με παρητημενον 19. kai eteros eipen zeuge βoon egorasa pente kai poreuomai dokimasai auta eroto se eche me paretemenon

| | | | |
|---|---|---|---|
| East Original | 20 καὶ ἕτερος εἶπε· γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν. | Textus Receptus | 20. και ετερος ειπεν γυναικα εγημα και δια τουτο ου δυναμαι ελθειν 20. kai eteros eipen gunaika egema kai dia touto ou dunamai elthein |
| East Original | 21 καὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δούλῳ αὐτοῦ· ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους καὶ χωλοὺς καὶ τυφλοὺς εἰσάγαγε ὧδε. | Textus Receptus | 21. και παραγενομενος ο δουλος εκεινος απηγγειλεν τω κυριω αυτου ταυτα τοτε οργισθεις ο οικοδεσποτης ειπεν τω δουλω αυτου εξελθε ταχεως εις τας πλατειας και ρυμας της πολεως και τους πτωχους και αναπηρους και χωλους και τυφλους εισαγαγε ωδε 21. kai paragenomenos o doulos ekeinos apeggeilen to kurio autou tauta tote orgistheis o oikodespotes eipen to doulo autou ekselthe tacheos eis tas plateias kai rumas tes poleos kai tous ptochous kai anaperous kai cholous kai tuflous eisagage ode |
| East Original | 22 καὶ εἶπεν ὁ δοῦλος· κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί. | Textus Receptus | 22. και ειπεν ο δουλος κυριε γεγονεν ως επεταξας και ετι τοπος εστιν 22. kai eipen o doulos kurie gegonen os epetaksas kai eti topos estin |
| East Original | 23 καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον· Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου. | Textus Receptus | 23. και ειπεν ο κυριος προς τον δουλον εξελθε εις τας οδους και φραγμους και αναγκασον εισελθειν ινα γεμισθη ο οικος μου 23. kai eipen o kurios pros ton doulon ekselthe eis tas |

odous kai fragmous kai anagkason eiselthein ina gemisthe o oikos mou

East Original

24 λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.

Textus Receptus

24. λεγω γαρ υμιν οτι ουδεις των ανδρων εκεινων των κεκλημενων γευσεται μου του δειπνου 24. lego gar umin oti oudeis ton andron ekeinon ton keklemenon geusetai mou tou deipnou

East Original

25 Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί. καὶ στραφεὶς εἶπε πρὸς αὐτούς·

Textus Receptus

25. συνεπορευοντο δε αυτω οχλοι πολλοι και στραφεις ειπεν προς αυτους 25. suneporeuonto de auto ochloi polloi kai strafeis eipen pros autous

East Original

26 Εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου μαθητής εἶναι.

Textus Receptus

26. ει τις ερχεται προς με και ου μισει τον πατερα εαυτου και την μητερα και την γυναικα και τα τεκνα και τους αδελφους και τας αδελφας ετι δε και την εαυτου ψυχην ου δυναται μου μαθητης ειναι 26. ei tis erchetai pros me kai ou misei ton patera eautou kai ten metera kai ten gunaika kai ta tekna kai tous adelfous kai tas adelfas eti de kai ten eautou psuchen ou dunatai mou mathetes einai

East Original

27 καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν ἑαυτοῦ καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναται εἶναί μου μαθητής.

Textus Receptus

27. και οστις ου βασταζει τον σταυρον αυτου και ερχεται οπισω μου ου δυναται μου ειναι μαθητης 27. kai ostis ou βastazei ton stauron

aυtoυ kai erchetai opiso moυ oυ dυnatai moυ einai mathetes

East Original

28 τίς γὰρ ἐξ ὑμῶν, θέλων πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν,

Textus Receptus

28. τις γαρ εξ υμων θελων πυργον οικοδομησαι ουχι πρωτον καθισας ψηφιζει την δαπανην ει εχει τα προς απαρτισμον 28. tis gar eks υmon thelon pυrgon oikodomesai oυchi proton kathisas psefizei ten dapanen ei echei ta pros apartismon

East Original

29 ἵνα μήποτε, θέντος αὐτοῦ θεμέλιον καὶ μὴ ἰσχύσαντος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται αὐτῷ ἐμπαίζειν,

Textus Receptus

29. ινα μηποτε θεντος αυτου θεμελιον και μη ισχυοντος εκτελεσαι παντες οι θεωρουντες αρξωνται εμπαιζειν αυτω 29. ina mepote thentos aυtoυ themelion kai me ischυontos ektelesai pantes oi theoroυntes arksontai empaizein aυto

East Original

30 λέγοντες ὅτι οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι;

Textus Receptus

30. λεγοντες οτι ουτος ο ανθρωπος ηρξατο οικοδομειν και ουκ ισχυσεν εκτελεσαι 30. legontes oti oυtos o anthropos erksato oikodomein kai oυk ischυsen ektelesai

East Original

31 ἢ τίς βασιλεὺς, πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ πρῶτον καθίσας βουλεύσεται εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων

Textus Receptus

31. η τις βασιλευς πορευομενος συμβαλειν ετερω βασιλει εις πολεμον ουχι καθισας πρωτον βουλευεται ει δυνατος εστιν εν δεκα χιλιασιν απαντησαι τω μετα εικοσι χιλιαδων ερχομενω επ αυτον 31. e tis βasileυs

| | | | |
|---|---|---|---|
| | ἐρχομένῳ ἐπ' αὐτόν; | | porevomenos sυmβalein etero βasilei eis polemon oυchi kathisas proton βoυlevetai ei dυnatos estin en deka chiliasin apantesai to meta eikosi chiliadon erchomeno ep aυton |
| East Original | 32 εἰ δὲ μήγε, ἔτι πόρρω αὐτοῦ ὄντος πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ πρὸς εἰρήνην. | Textus Receptus | 32. ει δε μηγε ετι αυτου πορρω οντος πρεσβειαν αποστειλας ερωτα τα προς ειρηνην 32. ei de mege eti aυtoυ porro ontos presβeian aposteilas erota ta pros eirenen |
| East Original | 33 οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναται εἶναί μου μαθητής. | Textus Receptus | 33. ουτως ουν πας εξ υμων ος ουκ αποτασσεται πασιν τοις εαυτου υπαρχουσιν ου δυναται μου ειναι μαθητης 33. oυtos oυn pas eks υmon os oυk apotassetai pasin tois eaυtoυ υparchoυsin oυ dυnatai moυ einai mathetes |
| East Original | 34 Καλὸν οὖν τὸ ἅλας· ἐὰν δὲ καὶ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται; | Textus Receptus | 34. καλον το αλας εαν δε το αλας μωρανθη εν τινι αρτυθησεται 34. kalon to alas ean de to alas moranthe en tini artυthesetai |
| East Original | 35 οὔτε εἰς γῆν οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν· ἔξω βάλλουσιν αὐτό. ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. | Textus Receptus | 35. ουτε εις γην ουτε εις κοπριαν ευθετον εστιν εξω βαλλουσιν αυτο ο εχων ωτα ακουειν ακουετω 35. oυte eis gen oυte eis koprian eυtheton estin ekso βalloυsin aυto o echon ota akoυein akoυeto |

Κεφάλαιο 15

East Original

1 Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ.

Textus Receptus

14. οι γαρ τοιαυτα λεγοντες εμφανιζουσιν οτι πατριδα επιζητουσιν 14. oi gar toiauta legontes emfanizousin oti patrida epizetousin

East Original

15 καὶ εἰ μὲν ἐκείνης μνημονεύουσιν, ἀφ’ ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι·

Textus Receptus

15. και ει μεν εκεινης εμνημονευον αφ ης εξηλθον ειχον αν καιρον ανακαμψαι 15. kai ei men ekeines emnemoneuon af es ekselthon eichon an kairon anakampsai

East Original

16 νῦν δὲ κρείττονος ὀρέγονται, τοῦτ’ ἔστιν ἐπουρανίου. διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς Θεὸς ἐπικαλεῖσθαι αὐτῶν, ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.

Textus Receptus

16. νυνι δε κρειττονος ορεγονται τουτ εστιν επουρανιου διο ουκ επαισχυνεται αυτους ο θεος θεος επικαλεισθαι αυτων ητοιμασεν γαρ αυτοις πολιν 16. nuni de kreittonos

oregontai tout estin epouraniou dio ouk epaischunetai autous o theos theos epikaleisthai auton etoimasen gar autois polin

| | | | |
|---|---|---|---|
| East Original | 17 Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, | Textus Receptus | 17. πιστει προσενηνοχεν αβρααμ τον ισαακ πειραζομενος και τον μονογενη προσεφερεν ο τας επαγγελιας αναδεξαμενος 17. pistei prosenenochen aβraam ton isaak peirazomenos kai ton monogene proseferen o tas epaggelias anadeksamenos |
| East Original | 18 πρὸς ὃν ἐλαλήθη ὅτι Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, | Textus Receptus | 18. προς ον ελαληθη οτι εν ισαακ κληθησεται σοι σπερμα 18. pros on elalethe oti en isaak klethesetai soi sperma |
| East Original | 19 λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. | Textus Receptus | 19. λογισαμενος οτι και εκ νεκρων εγειρειν δυνατος ο θεος οθεν αυτον και εν παραβολη εκομισατο 19. logisamenos oti kai ek nekron egeirein dunatos o theos othen auton kai en paraβole ekomisato |
| East Original | 20 Πίστει καὶ περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ. | Textus Receptus | 20. πιστει περι μελλοντων ευλογησεν ισαακ τον ιακωβ και τον ησαυ 20. pistei peri mellonton eulogesen isaak ton iakoβ kai ton esau |
| East Original | 21 Πίστει Ἰακὼβ ἀποθνῄσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησεν, καὶ | Textus Receptus | 21. πιστει ιακωβ αποθνησκων εκαστον των υιων ιωσηφ ευλογησεν και προσεκυνησεν επι |

προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

το ακρον της ραβδου αυτου 21. pistei iakoβ apothneskon ekaston ton υion iosef eυlogesen kai prosekυnesen epi to akron tes raβdoυ aυtoυ

East Original

22 Πίστει Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο.

Textus Receptus

22. πιστει ιωσηφ τελευτων περι της εξοδου των υιων ισραηλ εμνημονευσεν και περι των οστεων αυτου ενετειλατο 22. pistei iosef teleυton peri tes eksodoυ ton υion israel emnemoneυsen kai peri ton osteon aυtoυ eneteilato

East Original

23 Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον, καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως.

Textus Receptus

23. πιστει μωσης γεννηθεις εκρυβη τριμηνον υπο των πατερων αυτου διοτι ειδον αστειον το παιδιον και ουκ εφοβηθησαν το διαταγμα του βασιλεως 23. pistei moses gennetheis ekrυβe trimenon υpo ton pateron aυtoυ dioti eidon asteion to paidion kai oυk efoβethesan to diatagma toυ βasileos

East Original

24 Πίστει Μωϋσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ,

Textus Receptus

24. πιστει μωσης μεγας γενομενος ηρνησατο λεγεσθαι υιος θυγατρος φαραω 24. pistei moses megas genomenos ernesato legesthai υios thυgatros farao

East Original

25 μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν,

Textus Receptus

25. μαλλον ελομενος συγκακουχεισθαι τω λαω του θεου η προσκαιρον εχειν αμαρτιας απολαυσιν 25. mallon elomenos

sugkakoucheisthai to lao tou theou e proskairon echein amartias apolausin

East Original 26 μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, ἀπέβλεπεν γὰρ εἰς τὴν μισθαποδοσίαν.

Textus Receptus 26. μειζονα πλουτον ηγησαμενος των εν αιγυπτω θησαυρων τον ονειδισμον του χριστου απεβλεπεν γαρ εις την μισθαποδοσιαν 26. meizona plouton egesamenos ton en aigupto thesauron ton oneidismon tou christou apeβlepen gar eis ten misthapodosian

East Original 27 Πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως, τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε.

Textus Receptus 27. πιστει κατελιπεν αιγυπτον μη φοβηθεις τον θυμον του βασιλεως τον γαρ αορατον ως ορων εκαρτερησεν 27. pistei katelipen aigupton me foβetheis ton thumon tou βasileos ton gar aoraton os oron ekarteresen

East Original 28 Πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν.

Textus Receptus 28. πιστει πεποιηκεν το πασχα και την προσχυσιν του αιματος ινα μη ο ολοθρευων τα πρωτοτοκα θιγη αυτων 28. pistei pepoieken to pascha kai ten proschusin tou aimatos ina me o olothreuon ta prototoka thige auton

East Original 29 Πίστει διέβησαν τὴν Ἐρυθρὰν Θάλασσαν ὡς διὰ ξηρᾶς, ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν.

Textus Receptus 29. πιστει διεβησαν την ερυθραν θαλασσαν ως δια ξηρας ης πειραν λαβοντες οι αιγυπτιοι κατεποθησαν 29. pistei dieβesan ten eruthran

thalassan os dia kseras es peiran laβontes oi aiguptioi katepothesan

East Original

30 Πίστει τὰ τείχη Ἱεριχὼ ἔπεσαν κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.

Textus Receptus

30. πιστει τα τειχη ιεριχω επεσεν κυκλωθεντα επι επτα ημερας 30. pistei ta teiche iericho epesen kuklothenta epi epta emeras

East Original

31 Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης.

Textus Receptus

31. πιστει ρααβ η πορνη ου συναπωλετο τοις απειθησασιν δεξαμενη τους κατασκοπους μετ ειρηνης 31. pistei raaβ e porne ou sunapoleto tois apeithesasin deksamene tous kataskopous met eirenes

East Original

32 Καὶ τί ἔτι λέγω; ἐπιλείψει με γὰρ διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ, Σαμψών, Ἰεφθάε, Δαυῒδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν,

Textus Receptus

32. και τι ετι λεγω επιλειψει γαρ με διηγουμενον ο χρονος περι γεδεων βαρακ τε και σαμψων και ιεφθαε δαβιδ τε και σαμουηλ και των προφητων 32. kai ti eti lego epileipsei gar me diegoumenon o chronos peri gedeon βarak te kai sampson kai iefthae daβid te kai samouel kai ton profeton

East Original

33 οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων,

Textus Receptus

33. οι δια πιστεως κατηγωνισαντο βασιλειας ειργασαντο δικαιοσυνην επετυχον επαγγελιων εφραξαν στοματα λεοντων 33. oi dia pisteos kategonisanto βasileias eirgasanto dikaiosunen epetuchon epaggelion efraksan

stomata leonton

East Original 34 ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων·

Textus Receptus 34. εσβεσαν δυναμιν πυρος εφυγον στοματα μαχαιρας ενεδυναμωθησαν απο ασθενειας εγενηθησαν ισχυροι εν πολεμω παρεμβολας εκλιναν αλλοτριων 34. esβesan dunamin puros efugon stomata machairas enedunamothesan apo astheneias egenethesan ischuroi en polemo paremβolas eklinan allotrion

East Original 35 ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν·

Textus Receptus 35. ελαβον γυναικες εξ αναστασεως τους νεκρους αυτων αλλοι δε ετυμπανισθησαν ου προσδεξαμενοι την απολυτρωσιν ινα κρειττονος αναστασεως τυχωσιν 35. elaβon gunaikes eks anastaseos tous nekrous auton alloi de etumpanisthesan ou prosdeksamenoi ten apolutrosin ina kreittonos anastaseos tuchosin

East Original 36 ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς·

Textus Receptus 36. ετεροι δε εμπαιγμων και μαστιγων πειραν ελαβον ετι δε δεσμων και φυλακης 36. eteroi de empaigmon kai mastigon peiran elaβon eti de desmon kai fulakes

East Original 37 ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας

Textus Receptus 37. ελιθασθησαν επρισθησαν επειρασθησαν εν φονω μαχαιρας απεθανον περιηλθον εν

ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι,

μηλωταις εν αιγειοις δερμασιν υστερουμενοι θλιβομενοι κακουχουμενοι 37. elithasthesan epristhesan epeirasthesan en fono machairas apethanon perielthon en melotais en aigeiois dermasin υsteroυmenoi thliβomenoi kakoυchoυmenoi

East Original

38 ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐπὶ ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

Textus Receptus

38. ων ουκ ην αξιος ο κοσμος εν ερημιαις πλανωμενοι και ορεσιν και σπηλαιοις και ταις οπαις της γης 38. on oυk en aksios o kosmos en eremiais planomenoi kai oresin kai spelaiois kai tais opais tes ges

East Original

39 Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν,

Textus Receptus

39. και ουτοι παντες μαρτυρηθεντες δια της πιστεως ουκ εκομισαντο την επαγγελιαν 39. kai oυtoi pantes martυrethentes dia tes pisteos oυk ekomisanto ten epaggelian

East Original

40 τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

Textus Receptus

40. του θεου περι ημων κρειττον τι προβλεψαμενου ινα μη χωρις ημων τελειωθωσιν 40. toυ theoυ peri emon kreitton ti proβlepsamenoυ ina me choris emon teleiothosin

Κεφάλαιο 12

East Original

1 Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι᾽ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα,

Textus Receptus

1. τοιγαρουν και ημεις τοσουτον εχοντες περικειμενον ημιν νεφος μαρτυρων ογκον αποθεμενοι παντα και την ευπεριστατον αμαρτιαν δι υπομονης τρεχωμεν τον προκειμενον ημιν αγωνα 1. toigaroun kai emeis tosouton echontes perikeimenon emin nefos marturon ogkon apothemenoi panta kai ten euperistaton amartian di upomones trechomen ton prokeimenon emin agona

East Original

2 ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν.

Textus Receptus

2. αφορωντες εις τον της πιστεως αρχηγον και τελειωτην ιησουν ος αντι της προκειμενης αυτω χαρας υπεμεινεν σταυρον αισχυνης καταφρονησας εν δεξια τε του θρονου του θεου εκαθισεν 2. aforontes eis ton tes pisteos archegon kai teleioten iesoun os anti tes prokeimenes auto charas upemeinen stauron aischunes katafronesas en deksia te tou thronou tou theou ekathisen

East Original

3 ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε ταῖς

Textus Receptus

3. αναλογισασθε γαρ τον τοιαυτην υπομεμενηκοτα υπο των αμαρτωλων εις αυτον αντιλογιαν ινα μη καμητε ταις ψυχαις

ψυχαῖς ὑμῶν ἐκλυόμενοι.

υμων εκλυομενοι 3. analogisasthe gar ton toiauten upomemenekota upo ton amartolon eis auton antilogian ina me kamete tais psuchais umon ekluomenoi

East Original

4 Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι,

Textus Receptus

4. ουπω μεχρις αιματος αντικατεστητε προς την αμαρτιαν ανταγωνιζομενοι 4. oupo mechris aimatos antikatestete pros ten amartian antagonizomenoi

East Original

5 καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ’ αὐτοῦ ἐλεγχόμενος.

Textus Receptus

5. και εκλελησθε της παρακλησεως ητις υμιν ως υιοις διαλεγεται υιε μου μη ολιγωρει παιδειας κυριου μηδε εκλυου υπ αυτου ελεγχομενος 5. kai eklelesthe tes parakleseos etis umin os uiois dialegetai uie mou me oligorei paideias kuriou mede ekluou up autou elegchomenos

East Original

6 ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.

Textus Receptus

6. ον γαρ αγαπα κυριος παιδευει μαστιγοι δε παντα υιον ον παραδεχεται 6. on gar agapa kurios paideuei mastigoi de panta uion on paradechetai

East Original

7 εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ;

Textus Receptus

7. ει παιδειαν υπομενετε ως υιοις υμιν προσφερεται ο θεος τις γαρ εστιν υιος ον ου παιδευει πατηρ 7. ei paideian upomenete os uiois umin prosferetai o theos tis gar estin uios

on ου paideuei pater

East Original

8 εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί.

Textus Receptus

8. ει δε χωρις εστε παιδειας ης μετοχοι γεγονασιν παντες αρα νοθοι εστε και ουχ υιοι 8. ei de choris este paideias es metochoi gegonasin pantes ara nothoi este kai ouch υioi

East Original

9 εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν;

Textus Receptus

9. ειτα τους μεν της σαρκος ημων πατερας ειχομεν παιδευτας και ενετρεπομεθα ου πολλω μαλλον υποταγησομεθα τω πατρι των πνευματων και ζησομεν 9. eita tous men tes sarkos emon pateras eichomen paideυtas kai enetrepometha ου pollo mallon υpotagesometha to patri ton pneυmaton kai zesomen

East Original

10 οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.

Textus Receptus

10. οι μεν γαρ προς ολιγας ημερας κατα το δοκουν αυτοις επαιδευον ο δε επι το συμφερον εις το μεταλαβειν της αγιοτητος αυτου 10. oi men gar pros oligas emeras kata to dokoυn aυtois epaideυon o de epi to sυmferon eis to metalaβein tes agiotetos aυtoυ

East Original

11 πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι’ αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης.

Textus Receptus

11. πασα δε παιδεια προς μεν το παρον ου δοκει χαρας ειναι αλλα λυπης υστερον δε καρπον ειρηνικον τοις δι αυτης γεγυμνασμενοις αποδιδωσιν δικαιοσυνης 11.

pasa de paideia pros men to paron ou dokei charas einai alla lupes usteron de karpon eirenikon tois di autes gegumnasmenois apodidosin dikaiosunes

East Original

12 Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε,

Textus Receptus

12. διο τας παρειμενας χειρας και τα παραλελυμενα γονατα ανορθωσατε 12. dio tas pareimenas cheiras kai ta paralelumena gonata anorthosate

East Original

13 καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

Textus Receptus

13. και τροχιας ορθας ποιησατε τοις ποσιν υμων ινα μη το χωλον εκτραπη ιαθη δε μαλλον 13. kai trochias orthas poiesate tois posin umon ina me to cholon ektrape iathe de mallon

East Original

14 Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον,

Textus Receptus

14. ειρηνην διωκετε μετα παντων και τον αγιασμον ου χωρις ουδεις οψεται τον κυριον 14. eirenen diokete meta panton kai ton agiasmon ou choris oudeis opsetai ton kurion

East Original

15 ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ καὶ διὰ ταύτης μιανθῶσι πολλοί,

Textus Receptus

15. επισκοπουντες μη τις υστερων απο της χαριτος του θεου μη τις ριζα πικριας ανω φυουσα ενοχλη και δια ταυτης μιανθωσιν πολλοι 15. episkopountes me tis usteron apo tes charitos tou theou me tis riza pikrias ano fuousa enochle kai dia tautes mianthosin polloi

| | | | |
|---|---|---|---|
| East Original | 16 μή τις πόρνος ἢ βέβηλος ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. | Textus Receptus | 16. μη τις πορνος η βεβηλος ως ησαυ ος αντι βρωσεως μιας απεδοτο τα πρωτοτοκια αυτου 16. me tis pornos e βeβelos os esaυ os anti βroseos mias apedoto ta prototokia aυtoυ |
| East Original | 17 ἴστε γὰρ ὅτι καὶ μετέπειτα, θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκιμάσθη· μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν. | Textus Receptus | 17. ιστε γαρ οτι και μετεπειτα θελων κληρονομησαι την ευλογιαν απεδοκιμασθη μετανοιας γαρ τοπον ουχ ευρεν καιπερ μετα δακρυων εκζητησας αυτην 17. iste gar oti kai metepeita thelon kleronomesai ten eυlogian apedokimasthe metanoias gar topon oυch eυren kaiper meta dakrυon ekzetesas aυten |
| East Original | 18 Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει καὶ κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ | Textus Receptus | 18. ου γαρ προσεληλυθατε ψηλαφωμενω ορει και κεκαυμενω πυρι και γνοφω και σκοτω και θυελλη 18. oυ gar proselelυthate pselafomeno orei kai kekaυmeno pυri kai gnofo kai skoto kai thυelle |
| East Original | 19 καὶ σάλπιγγος ἤχῳ καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον· | Textus Receptus | 19. και σαλπιγγος ηχω και φωνη ρηματων ης οι ακουσαντες παρητησαντο μη προστεθηναι αυτοις λογον 19. kai salpiggos echo kai fone rematon es oi akoυsantes paretesanto me prostethenai aυtois logon |
| East Original | 20 οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· κἂν θηρίον θίγῃ τοῦ ὄρους, | Textus Receptus | 20. ουκ εφερον γαρ το διαστελλομενον καν θηριον θιγη του ορους λιθοβοληθησεται η |

λιθοβοληθήσεται·

βολιδι κατατοξευθησεται 20. ouk eferon gar to diastellomenon kan therion thige tou orous lithoβolethesetai e βolidi katatokseuthesetai

East Original

21 καί· οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον! Μωϋσῆς εἶπεν· ἔκφοβός εἰμι καὶ ἔντρομος·

Textus Receptus

21. και ουτως φοβερον ην το φανταζομενον μωσης ειπεν εκφοβος ειμι και εντρομος 21. kai outos foβeron en to fantazomenon moses eipen ekfoβos eimi kai entromos

East Original

22 ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων,

Textus Receptus

22. αλλα προσεληλυθατε σιων ορει και πολει θεου ζωντος ιερουσαλημ επουρανιω και μυριασιν αγγελων 22. alla proselelυthate sion orei kai polei theou zontos ierousalem epouranio kai muriasin aggelon

East Original

23 πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων,

Textus Receptus

23. πανηγυρει και εκκλησια πρωτοτοκων εν ουρανοις απογεγραμμενων και κριτη θεω παντων και πνευμασιν δικαιων τετελειωμενων 23. panegurei kai ekklesia prototokon en ouranois apogegrammenon kai krite theo panton kai pneumasin dikaion teteleiomenon

East Original

24 καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ.

Textus Receptus

24. και διαθηκης νεας μεσιτη ιησου και αιματι ραντισμου κρειττονα λαλουντι παρα {VAR1: τον } {VAR2: το } αβελ 24. kai diathekes neas mesite iesou kai aimati rantismou

kreittona lalounti para {VAR1: ton } {VAR2: to } aβel

| | | | |
|---|---|---|---|
| East Original | 25 Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον τὸν ἐπὶ τῆς γῆς παραιτησάμενοι τὸν χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι· | Textus Receptus | 25. βλεπετε μη παραιτησησθε τον λαλουντα ει γαρ εκεινοι ουκ εφυγον τον επι της γης παραιτησαμενοι χρηματιζοντα πολλω μαλλον ημεις οι τον απ ουρανων αποστρεφομενοι 25. βlepete me paraitesesthe ton lalounta ei gar ekeinoi ouk efugon ton epi tes ges paraitesamenoi chrematizonta pollo mallon emeis oi ton ap ouranon apostrefomenoi |
| East Original | 26 οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε, νῦν δὲ ἐπήγγελται λέγων· ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. | Textus Receptus | 26. ου η φωνη την γην εσαλευσεν τοτε νυν δε επηγγελται λεγων ετι απαξ εγω σειω ου μονον την γην αλλα και τον ουρανον 26. ου e fone ten gen esaleusen tote nun de epeggeltai legon eti apaks ego seio ou monon ten gen alla kai ton ouranon |
| East Original | 27 τὸ δὲ ἔτι ἅπαξ δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. | Textus Receptus | 27. το δε ετι απαξ δηλοι των σαλευομενων την μεταθεσιν ως πεποιημενων ινα μεινη τα μη σαλευομενα 27. to de eti apaks deloi ton saleuomenon ten metathesin os pepoiemenon ina meine ta me saleuomena |
| East Original | 28 Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες ἔχωμεν χάριν, δι' ἧς | Textus Receptus | 28. διο βασιλειαν ασαλευτον παραλαμβανοντες εχωμεν χαριν δι ης |

λατρεύωμεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας·

λατρευωμεν ευαρεστως τω θεω μετα αιδους και ευλαβειας 28. dio βasileian asaleυton paralamβanontes echomen charin di es latreυomen eυarestos to theo meta aidoυs kai eυlaβeias

East Original 29 καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον.

Textus Receptus 29. και γαρ ο θεος ημων πυρ καταναλισκον 29. kai gar o theos emon pυr katanaliskon

Κεφάλαιο 13

East Original 1 Ἡ φιλαδελφία μενέτω, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε·

Textus Receptus 1. η φιλαδελφια μενετω 1. e filadelfia meneto

East Original 2 διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους.

Textus Receptus 2. της φιλοξενιας μη επιλανθανεσθε δια ταυτης γαρ ελαθον τινες ξενισαντες αγγελους 2. tes filoksenias me epilanthanesthe dia taυtes gar elathon tines ksenisantes aggeloυs

East Original 3 μιμνήσκεσθε τῶν δεσμίων ὡς συνδεδεμένοι, τῶν κακουχουμένων ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι.

Textus Receptus 3. μιμνησκεσθε των δεσμιων ως συνδεδεμενοι των κακουχουμενων ως και αυτοι οντες εν σωματι 3. mimneskesthe ton desmion os sυndedemenoi ton kakoυchoυmenon os kai aυtoi ontes en somati

East Original 4 Τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη

Textus Receptus 4. τιμιος ο γαμος εν πασιν και η κοιτη

ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός.

αμιαντος πορνους δε και μοιχους κρινει ο θεος 4. timios o gamos en pasin kai e koite amiantos pornoυs de kai moichoυs krinei o theos

East Original

5 Ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν· οὐ μή σε ἀνῶ οὐδ’ οὐ μή σε ἐγκαταλίπω·

Textus Receptus

5. αφιλαργυρος ο τροπος αρκουμενοι τοις παρουσιν αυτος γαρ ειρηκεν ου μη σε ανω ουδ ου μη σε εγκαταλιπω 5. afilargυros o tropos arkoυmenoi tois paroυsin aυtos gar eireken oυ me se ano oυd oυ me se egkatalipo

East Original

6 ὥστε θαρροῦντας ἡμᾶς λέγειν· Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι· τί ποιήσει μοι ἄνθρωπος;

Textus Receptus

6. ωστε θαρρουντας ημας λεγειν κυριος εμοι βοηθος και ου φοβηθησομαι τι ποιησει μοι ανθρωπος 6. oste tharroυntas emas legein kυrios emoi βoethos kai oυ foβethesomai ti poiesei moi anthropos

East Original

7 Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν.

Textus Receptus

7. μνημονευετε των ηγουμενων υμων οιτινες ελαλησαν υμιν τον λογον του θεου ων αναθεωρουντες την εκβασιν της αναστροφης μιμεισθε την πιστιν 7. mnemoneυete ton egoυmenon υmon oitines elalesan υmin ton logon toυ theoυ on anatheoroυntes ten ekβasin tes anastrofes mimeisthe ten pistin

East Original

8 Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

Textus Receptus

8. ιησους χριστος χθες και σημερον ο αυτος και εις τους αιωνας 8. iesoυs christos chthes

kai semeron o aυtos kai eis toυs aionas

East Original

9 διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.

Textus Receptus

9. διδαχαις ποικιλαις και ξεναις μη περιφερεσθε καλον γαρ χαριτι βεβαιουσθαι την καρδιαν ου βρωμασιν εν οις ουκ ωφεληθησαν οι περιπατησαντες 9. didachais poikilais kai ksenais me periferesthe kalon gar chariti βeβaioυsthai ten kardian oυ βromasin en ois oυk ofelethesan oi peripatesantes

East Original

10 ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες·

Textus Receptus

10. εχομεν θυσιαστηριον εξ ου φαγειν ουκ εχουσιν εξουσιαν οι τη σκηνη λατρευοντες 10. echomen thυsiasterion eks oυ fagein oυk echoυsin eksoυsian oi te skene latreυontes

East Original

11 ὧν γὰρ εἰσφέρεται ζῴων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ Ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς·

Textus Receptus

11. ων γαρ εισφερεται ζωων το αιμα περι αμαρτιας εις τα αγια δια του αρχιερεως τουτων τα σωματα κατακαιεται εξω της παρεμβολης 11. on gar eisferetai zoon to aima peri amartias eis ta agia dia toυ archiereos toυton ta somata katakaietai ekso tes paremβoles

East Original

12 διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε.

Textus Receptus

12. διο και ιησους ινα αγιαση δια του ιδιου αιματος τον λαον εξω της πυλης επαθεν 12. dio kai iesoυs ina agiase dia toυ idioυ aimatos ton laon ekso tes pυles epathen

East Original 13 τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες·

Textus Receptus 13. τοινυν εξερχωμεθα προς αυτον εξω της παρεμβολης τον ονειδισμον αυτου φεροντες 13. toinun ekserchometha pros auton ekso tes paremβoles ton oneidismon autou ferontes

East Original 14 οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

Textus Receptus 14. ου γαρ εχομεν ωδε μενουσαν πολιν αλλα την μελλουσαν επιζητουμεν 14. ou gar echomen ode menousan polin alla ten mellousan epizetoumen

East Original 15 δι᾽ αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τοῦτ᾽ ἔστι καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ.

Textus Receptus 15. δι αυτου ουν αναφερωμεν θυσιαν αινεσεως διαπαντος τω θεω τουτ εστιν καρπον χειλεων ομολογουντων τω ονοματι αυτου 15. di autou oun anaferomen thusian aineseos diapantos to theo tout estin karpon cheileon omologounton to onomati autou

East Original 16 τῆς δὲ εὐποιίας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

Textus Receptus 16. της δε ευποιιας και κοινωνιας μη επιλανθανεσθε τοιαυταις γαρ θυσιαις ευαρεστειται ο θεος 16. tes de eupoiias kai koinonias me epilanthanesthe toiautais gar thusiais euaresteitai o theos

East Original 17 Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι καὶ μὴ

Textus Receptus 17. πειθεσθε τοις ηγουμενοις υμων και υπεικετε αυτοι γαρ αγρυπνουσιν υπερ των ψυχων υμων ως λογον αποδωσοντες ινα μετα χαρας τουτο ποιωσιν και μη

στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο.

στεναζοντες αλυσιτελες γαρ υμιν τουτο 17. peithesthe tois egoυmenois υmon kai υpeikete aυtoi gar agrυpnoυsin υper ton psυchon υmon os logon apodosontes ina meta charas toυto poiosin kai me stenazontes alυsiteles gar υmin toυto

East Original

18 Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι.

Textus Receptus

18. προσευχεσθε περι ημων πεποιθαμεν γαρ οτι καλην συνειδησιν εχομεν εν πασιν καλως θελοντες αναστρεφεσθαι 18. proseυchesthe peri emon pepoithamen gar oti kalen sυneidesin echomen en pasin kalos thelontes anastrefesthai

East Original

19 περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.

Textus Receptus

19. περισσοτερως δε παρακαλω τουτο ποιησαι ινα ταχιον αποκατασταθω υμιν 19. perissoteros de parakalo toυto poiesai ina tachion apokatastatho υmin

East Original

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν,

Textus Receptus

20. ο δε θεος της ειρηνης ο αναγαγων εκ νεκρων τον ποιμενα των προβατων τον μεγαν εν αιματι διαθηκης αιωνιου τον κυριον ημων ιησουν 20. o de theos tes eirenes o anagagon ek nekron ton poimena ton proβaton ton megan en aimati diathekes aioniou ton kυrion emon iesoυn

East Original

21 καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Textus Receptus

21. καταρτισαι υμας εν παντι εργω αγαθω εις το ποιησαι το θελημα αυτου ποιων εν υμιν το ευαρεστον ενωπιον αυτου δια ιησου χριστου ω η δοξα εις τους αιωνας των αιωνων αμην 21. katartisai υmas en panti ergo agatho eis to poiesai to thelema aυtoυ poion en υmin to eυareston enopion aυtoυ dia iesoυ christoυ o e doksa eis toυs aionas ton aionon amen

East Original

22 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως· καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν.

Textus Receptus

22. παρακαλω δε υμας αδελφοι ανεχεσθε του λογου της παρακλησεως και γαρ δια βραχεων επεστειλα υμιν 22. parakalo de υmas adelfoi anechesthe toυ logoυ tes parakleseos kai gar dia βracheon epesteila υmin

East Original

23 Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς.

Textus Receptus

23. γινωσκετε τον αδελφον τιμοθεον απολελυμενον μεθ ου εαν ταχιον ερχηται οψομαι υμας 23. ginoskete ton adelfon timotheon apolelυmenon meth oυ ean tachion erchetai opsomai υmas

East Original

24 Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν καὶ πάντας τοὺς ἁγίους. Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.

Textus Receptus

24. ασπασασθε παντας τους ηγουμενους υμων και παντας τους αγιους ασπαζονται υμας οι απο της ιταλιας 24. aspasasthe pantas toυs egoυmenoυs υmon kai pantas toυs agioυs aspazontai υmas oi apo tes italias

East Original

25 Ἡ χάρις μετὰ πάντων ὑμῶν· ἀμήν.

Textus Receptus

25. η χαρις μετα παντων υμων αμην [προς εβραιους εγραφη απο της ιταλιας δια τιμοθεου] 25. e charis meta panton umon amen [pros eβraious egrafe apo tes italias dia timotheou]

# ΕΠΙΣΤΟΛΗ ΙΑΚΩΒΟΥ

## Κεφάλαιο 1

East Original

1 Ἰάκωβος, Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ χαίρειν.

Textus Receptus

1. ιακωβος θεου και κυριου ιησου χριστου δουλος ταις δωδεκα φυλαις ταις εν τη διασπορα χαιρειν 1. iakoβos theou kai kuriou iesou christou doulos tais dodeka fulais tais en te diaspora chairein

East Original

2 Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις,

Textus Receptus

2. πασαν χαραν ηγησασθε αδελφοι μου οταν πειρασμοις περιπεσητε ποικιλοις 2. pasan charan egesasthe adelfoi mou otan peirasmois peripesete poikilois

East Original

3 γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν·

Textus Receptus

3. γινωσκοντες οτι το δοκιμιον υμων της πιστεως κατεργαζεται υπομονην 3. ginoskontes oti to dokimion umon tes pisteos

katergazetai υpomonen

| | | | |
|---|---|---|---|
| East Original | 4 ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. | Textus Receptus | 4. η δε υπομονη εργον τελειον εχετω ινα ητε τελειοι και ολοκληροι εν μηδενι λειπομενοι 4. e de υpomone ergon teleion echeto ina ete teleioi kai olokleroi en medeni leipomenoi |
| East Original | 5 Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ· | Textus Receptus | 5. ει δε τις υμων λειπεται σοφιας αιτειτω παρα του διδοντος θεου πασιν απλως και μη ονειδιζοντος και δοθησεται αυτω 5. ei de tis υmon leipetai sofias aiteito para toυ didontos theoυ pasin aplos kai me oneidizontos kai dothesetai aυto |
| East Original | 6 αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. | Textus Receptus | 6. αιτειτω δε εν πιστει μηδεν διακρινομενος ο γαρ διακρινομενος εοικεν κλυδωνι θαλασσης ανεμιζομενω και ριπιζομενω 6. aiteito de en pistei meden diakrinomenos o gar diakrinomenos eoiken klυdoni thalasses anemizomeno kai ripizomeno |
| East Original | 7 μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί τι παρὰ τοῦ Κυρίου. | Textus Receptus | 7. μη γαρ οιεσθω ο ανθρωπος εκεινος οτι ληψεται τι παρα του κυριου 7. me gar oiestho o anthropos ekeinos oti lepsetai ti para toυ kυrioυ |
| East Original | 8 ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. | Textus Receptus | 8. ανηρ διψυχος ακαταστατος εν πασαις ταις οδοις αυτου 8. aner dipsυchos akatastatos en |

pasais tais odois aυtoυ

East Original

9 καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν
τῷ ὕψει αὐτοῦ,

Textus Receptus

9. καυχασθω δε ο αδελφος ο ταπεινος εν τω
υψει αυτου 9. kaυchastho de o adelfos o
tapeinos en to υpsei aυtoυ

East Original

10 ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ,
ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται.

Textus Receptus

10. ο δε πλουσιος εν τη ταπεινωσει αυτου οτι
ως ανθος χορτου παρελευσεται 10. o de
ploυsios en te tapeinosei aυtoυ oti os anthos
chortoυ pareleυsetai

East Original

11 ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι
καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος
αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ
προσώπου αὐτοῦ ἀπώλετο. οὕτω καὶ ὁ
πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ
μαρανθήσεται.

Textus Receptus

11. ανετειλεν γαρ ο ηλιος συν τω καυσωνι και
εξηρανεν τον χορτον και το ανθος αυτου
εξεπεσεν και η ευπρεπεια του προσωπου
αυτου απωλετο ουτως και ο πλουσιος εν ταις
πορειαις αυτου μαρανθησεται 11. aneteilen
gar o elios sυn to kaυsoni kai ekseranen ton
chorton kai to anthos aυtoυ eksepesen kai e
eυprepeia toυ prosopoυ aυtoυ apoleto oυtos kai
o ploυsios en tais poreiais aυtoυ maranthesetai

East Original

12 Μακάριος ἀνὴρ ὃς ὑπομένει
πειρασμόν· ὅτι δόκιμος γενόμενος
λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν
ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν
αὐτόν.

Textus Receptus

12. μακαριος ανηρ ος υπομενει πειρασμον οτι
δοκιμος γενομενος ληψεται τον στεφανον
της ζωης ον επηγγειλατο ο κυριος τοις
αγαπωσιν αυτον 12. makarios aner os
υpomenei peirasmon oti dokimos genomenos
lepsetai ton stefanon tes zoes on epeggeilato o

kurios tois agaposin auton

East Original

13 Μηδεὶς πειραζόμενος λεγέτω ὅτι ἀπὸ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα.

Textus Receptus

13. μηδεις πειραζομενος λεγετω οτι απο του θεου πειραζομαι ο γαρ θεος απειραστος εστιν κακων πειραζει δε αυτος ουδενα 13. medeis peirazomenos legeto oti apo tou theou peirazomai o gar theos apeirastos estin kakon peirazei de autos oudena

East Original

14 ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος·

Textus Receptus

14. εκαστος δε πειραζεται υπο της ιδιας επιθυμιας εξελκομενος και δελεαζομενος 14. ekastos de peirazetai upo tes idias epithumias ekselkomenos kai deleazomenos

East Original

15 εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον.

Textus Receptus

15. ειτα η επιθυμια συλλαβουσα τικτει αμαρτιαν η δε αμαρτια αποτελεσθεισα αποκυει θανατον 15. eita e epithumia sullaβousa tiktei amartian e de amartia apotelestheisa apokuei thanaton

East Original

16 Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί·

Textus Receptus

16. μη πλανασθε αδελφοι μου αγαπητοι 16. me planasthe adelfoi mou agapetoi

East Original

17 πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ’ ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα.

Textus Receptus

17. πασα δοσις αγαθη και παν δωρημα τελειον ανωθεν εστιν καταβαινον απο του πατρος των φωτων παρ ω ουκ ενι παραλλαγη η τροπης αποσκιασμα 17. pasa dosis agathe kai pan dorema teleion anothen

estin kataβainon apo tou patros ton foton par o ouk eni parallage e tropes aposkiasma

| | | | |
|---|---|---|---|
| East Original | 18 βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων. | Textus Receptus | 18. βουληθεις απεκυησεν ημας λογω αληθειας εις το ειναι ημας απαρχην τινα των αυτου κτισματων 18. βouletheis apekυesen emas logo aletheias eis to einai emas aparchen tina ton aυtoυ ktismaton |
| East Original | 19 Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν· | Textus Receptus | 19. ωστε αδελφοι μου αγαπητοι εστω πας ανθρωπος ταχυς εις το ακουσαι βραδυς εις το λαλησαι βραδυς εις οργην 19. oste adelfoi moυ agapetoi esto pas anthropos tachυs eis to akoυsai βradυs eis to lalesai βradυs eis orgen |
| East Original | 20 ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται. | Textus Receptus | 20. οργη γαρ ανδρος δικαιοσυνην θεου ου κατεργαζεται 20. orge gar andros dikaiosυnen theoυ oυ katergazetai |
| East Original | 21 διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν. | Textus Receptus | 21. διο αποθεμενοι πασαν ρυπαριαν και περισσειαν κακιας εν πραυτητι δεξασθε τον εμφυτον λογον τον δυναμενον σωσαι τας ψυχας υμων 21. dio apothemenoi pasan rυparian kai perisseian kakias en praυteti deksasthe ton emfυton logon ton dυnamenon sosai tas psυchas υmon |
| East Original | 22 Γίνεσθε δὲ ποιηταὶ λόγου καὶ μὴ μόνον | Textus Receptus | 22. γινεσθε δε ποιηται λογου και μη μονον |

ἀκροαταὶ, παραλογιζόμενοι ἑαυτούς.

ακροαται παραλογιζομενοι εαυτους 22. ginesthe de poietai logou kai me monon akroatai paralogizomenoi eautous

East Original

23 ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶ καὶ οὐ ποιητής, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ·

Textus Receptus

23. οτι ει τις ακροατης λογου εστιν και ου ποιητης ουτος εοικεν ανδρι κατανοουντι το προσωπον της γενεσεως αυτου εν εσοπτρω 23. oti ei tis akroates logou estin kai ou poietes outos eoiken andri katanoounti to prosopon tes geneseos autou en esoptro

East Original

24 κατενόησε γὰρ ἑαυτὸν καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν.

Textus Receptus

24. κατενοησεν γαρ εαυτον και απεληλυθεν και ευθεως επελαθετο οποιος ην 24. katenoesen gar eauton kai apeleluthen kai eutheos epelatheto opoios en

East Original

25 Ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας καὶ παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται.

Textus Receptus

25. ο δε παρακυψας εις νομον τελειον τον της ελευθεριας και παραμεινας ουτος ουκ ακροατης επιλησμονης γενομενος αλλα ποιητης εργου ουτος μακαριος εν τη ποιησει αυτου εσται 25. o de parakupsas eis nomon teleion ton tes eleutherias kai parameinas outos ouk akroates epilesmones genomenos alla poietes ergou outos makarios en te poiesei autou estai

East Original

26 Εἴ τις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν μὴ

Textus Receptus

26. ει τις δοκει θρησκος ειναι εν υμιν μη

χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλ’ ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία.

χαλιναγωγων γλωσσαν αυτου αλλ απατων καρδιαν αυτου τουτου ματαιος η θρησκεια 26. ei tis dokei threskos einai en υmin me chalinagogon glossan aυtoυ all apaton kardian aυtoυ toυtoυ mataios e threskeia

East Original

27 θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ πατρὶ αὕτη ἐστίν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

Textus Receptus

27. θρησκεια καθαρα και αμιαντος παρα τω θεω και πατρι αυτη εστιν επισκεπτεσθαι ορφανους και χηρας εν τη θλιψει αυτων ασπιλον εαυτον τηρειν απο του κοσμου 27. threskeia kathara kai amiantos para to theo kai patri aυte estin episkeptesthai orfanoυs kai cheras en te thlipsei aυton aspilon eaυton terein apo toυ kosmoυ

Κεφάλαιο 2

East Original

1 Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης.

Textus Receptus

1. αδελφοι μου μη εν προσωποληψιαις εχετε την πιστιν του κυριου ημων ιησου χριστου της δοξης 1. adelfoi moυ me en prosopolepsiais echete ten pistin toυ kυrioυ emon iesoυ christoυ tes dokses

East Original

2 ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι

Textus Receptus

2. εαν γαρ εισελθη εις την συναγωγην υμων ανηρ χρυσοδακτυλιος εν εσθητι λαμπρα

λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι,

εισελθη δε και πτωχος εν ρυπαρα εσθητι 2. ean gar eiselthe eis ten sunagogen umon aner chrusodaktulios en estheti lampra eiselthe de kai ptochos en rupara estheti

East Original

3 καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν καὶ εἴπητε αὐτῷ, σὺ κάθου ὧδε καλῶς, καὶ τῷ πτωχῷ εἴπητε, σὺ στῆθι ἐκεῖ ἢ κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου,

Textus Receptus

3. και επιβλεψητε επι τον φορουντα την εσθητα την λαμπραν και ειπητε αυτω συ καθου ωδε καλως και τω πτωχω ειπητε συ στηθι εκει η καθου ωδε υπο το υποποδιον μου 3. kai epiβlepsete epi ton forounta ten estheta ten lampran kai eipete auto su kathou ode kalos kai to ptocho eipete su stethi ekei e kathou ode upo to upopodion mou

East Original

4 καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν;

Textus Receptus

4. και ου διεκριθητε εν εαυτοις και εγενεσθε κριται διαλογισμων πονηρων 4. kai ou diekrithete en eautois kai egenesthe kritai dialogismon poneron

East Original

5 Ἀκούσατε, ἀδελφοί μου ἀγαπητοί. οὐχ ὁ Θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου πλουσίους ἐν πίστει καὶ κληρονόμους τῆς βασιλείας ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν;

Textus Receptus

5. ακουσατε αδελφοι μου αγαπητοι ουχ ο θεος εξελεξατο τους πτωχους του κοσμου τουτου πλουσιους εν πιστει και κληρονομους της βασιλειας ης επηγγειλατο τοις αγαπωσιν αυτον 5. akousate adelfoi mou agapetoi ouch o theos ekseleksato tous ptochous tou kosmou toutou plousious en pistei kai kleronomous tes

βasileias es epeggeilato tois agaposin aυton

East Original 6 ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν. οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια;

Textus Receptus 6. υμεις δε ητιμασατε τον πτωχον ουχ οι πλουσιοι καταδυναστευουσιν υμων και αυτοι ελκουσιν υμας εις κριτηρια 6. υmeis de etimasate ton ptochon oυch oi ploυsioi katadυnasteυoυsin υmon kai aυtoi elkoυsin υmas eis kriteria

East Original 7 οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ’ ὑμᾶς;

Textus Receptus 7. ουκ αυτοι βλασφημουσιν το καλον ονομα το επικληθεν εφ υμας 7. oυk aυtoi βlasfemoυsin to kalon onoma to epiklethen ef υmas

East Original 8 εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν γραφήν, ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν, καλῶς ποιεῖτε·

Textus Receptus 8. ει μεντοι νομον τελειτε βασιλικον κατα την γραφην αγαπησεις τον πλησιον σου ως σεαυτον καλως ποιειτε 8. ei mentoi nomon teleite βasilikon kata ten grafen agapeseis ton plesion soυ os seaυton kalos poieite

East Original 9 εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς παραβάται.

Textus Receptus 9. ει δε προσωποληπτειτε αμαρτιαν εργαζεσθε ελεγχομενοι υπο του νομου ως παραβαται 9. ei de prosopolepteite amartian ergazesthe elegchomenoi υpo toυ nomoυ os paraβatai

East Original 10 ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσῃ, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος.

Textus Receptus 10. οστις γαρ ολον τον νομον τηρησει πταισει δε εν ενι γεγονεν παντων ενοχος 10. ostis gar

olon ton nomon teresei ptaisei de en eni gegonen panton enochos

East Original

11 ὁ γὰρ εἰπών μὴ μοιχεύσῃς, εἶπε καί μὴ φονεύσῃς· εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις δέ, γέγονας παραβάτης νόμου.

Textus Receptus

11. ο γαρ ειπων μη μοιχευσης ειπεν και μη φονευσης ει δε ου μοιχευσεις φονευσεις δε γεγονας παραβατης νομου 11. o gar eipon me moicheυses eipen kai me foneυses ei de oυ moicheυseis foneυseis de gegonas paraβates nomoυ

East Original

12 οὕτω λαλεῖτε καὶ οὕτω ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι·

Textus Receptus

12. ουτως λαλειτε και ουτως ποιειτε ως δια νομου ελευθεριας μελλοντες κρινεσθαι 12. oυtos laleite kai oυtos poieite os dia nomoυ eleυtherias mellontes krinesthai

East Original

13 ἡ γὰρ κρίσις ἀνέλεος τῷ μὴ ποιήσαντι ἔλεος· κατακαυχᾶται ἔλεος κρίσεως.

Textus Receptus

13. η γαρ κρισις ανιλεως τω μη ποιησαντι ελεος και κατακαυχαται ελεος κρισεως 13. e gar krisis anileos to me poiesanti eleos kai katakaυchatai eleos kriseos

East Original

14 Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν;

Textus Receptus

14. τι το οφελος αδελφοι μου εαν πιστιν λεγη τις εχειν εργα δε μη εχη μη δυναται η πιστις σωσαι αυτον 14. ti to ofelos adelfoi moυ ean pistin lege tis echein erga de me eche me dυnatai e pistis sosai aυton

East Original

15 ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι καὶ λειπόμενοι ὦσι τῆς

Textus Receptus

15. εαν δε αδελφος η αδελφη γυμνοι υπαρχωσιν και λειπομενοι ωσιν της

ἐφημέρου τροφῆς,

εφημερου τροφης 15. ean de adelfos e adelfe gυmnoi υparchosin kai leipomenoi osin tes efemeroυ trofes

East Original

16 εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν, ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε, μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος;

Textus Receptus

16. ειπη δε τις αυτοις εξ υμων υπαγετε εν ειρηνη θερμαινεσθε και χορταζεσθε μη δωτε δε αυτοις τα επιτηδεια του σωματος τι το οφελος 16. eipe de tis aυtois eks υmon υpagete en eirene thermainesthe kai chortazesthe me dote de aυtois ta epitedeia toυ somatos ti to ofelos

East Original

17 οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ᾽ ἑαυτήν.

Textus Receptus

17. ουτως και η πιστις εαν μη εργα εχη νεκρα εστιν καθ εαυτην 17. oυtos kai e pistis ean me erga eche nekra estin kath eaυten

East Original

18 ἀλλ᾽ ἐρεῖ τις· σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου.

Textus Receptus

18. αλλ ερει τις συ πιστιν εχεις καγω εργα εχω δειξον μοι την πιστιν σου {VAR1: εκ } {VAR2: χωρις } των εργων σου καγω δειξω σοι εκ των εργων μου την πιστιν μου 18. all erei tis sυ pistin echeis kago erga echo deikson moi ten pistin soυ {VAR1: ek } {VAR2: choris } ton ergon soυ kago deikso soi ek ton ergon moυ ten pistin moυ

East Original

19 σὺ πιστεύεις ὅτι ὁ Θεὸς εἷς ἐστι· καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσι καὶ

Textus Receptus

19. συ πιστευεις οτι ο θεος εις εστιν καλως ποιεις και τα δαιμονια πιστευουσιν και

φρίσσουσι.

φρισσουσιν 19. su pisteveis oti o theos eis estin kalos poieis kai ta daimonia pistevousin kai frissousin

East Original 20 θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν;

Textus Receptus 20. θελεις δε γνωναι ω ανθρωπε κενε οτι η πιστις χωρις των εργων νεκρα εστιν 20. theleis de gnonai o anthrope kene oti e pistis choris ton ergon nekra estin

East Original 21 Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον;

Textus Receptus 21. αβρααμ ο πατηρ ημων ουκ εξ εργων εδικαιωθη ανενεγκας ισαακ τον υιον αυτου επι το θυσιαστηριον 21. aβraam o pater emon ouk eks ergon edikaiothe anenegkas isaak ton uion autou epi to thusiasterion

East Original 22 βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη,

Textus Receptus 22. βλεπεις οτι η πιστις συνηργει τοις εργοις αυτου και εκ των εργων η πιστις ετελειωθη 22. βlepeis oti e pistis sunergei tois ergois autou kai ek ton ergon e pistis eteleiothe

East Original 23 καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος Θεοῦ ἐκλήθη.

Textus Receptus 23. και επληρωθη η γραφη η λεγουσα επιστευσεν δε αβρααμ τω θεω και ελογισθη αυτω εις δικαιοσυνην και φιλος θεου εκληθη 23. kai eplerothe e grafe e legousa episteusen de aβraam to theo kai elogisthe auto eis dikaiosunen kai filos theou eklethe

East Original 24 ὁρᾶτε τοίνυν ὅτι ἐξ ἔργων δικαιοῦται

Textus Receptus 24. ορατε τοινυν οτι εξ εργων δικαιουται

ἄνθρωπος καὶ οὐκ ἐκ πίστεως μόνον.

ανθρωπος και ουκ εκ πιστεως μονον 24. orate toinυn oti eks ergon dikaioυtai anthropos kai oυk ek pisteos monon

East Original 25 ὁμοίως δὲ καὶ Ραὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη, ὑποδεξαμένη τοὺς ἀγγέλους καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα;

Textus Receptus 25. ομοιως δε και ρααβ η πορνη ουκ εξ εργων εδικαιωθη υποδεξαμενη τους αγγελους και ετερα οδω εκβαλουσα 25. omoios de kai raaβ e porne oυk eks ergon edikaiothe υpodeksamene toυs aggeloυs kai etera odo ekβaloυsa

East Original 26 ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.

Textus Receptus 26. ωσπερ γαρ το σωμα χωρις πνευματος νεκρον εστιν ουτως και η πιστις χωρις των εργων νεκρα εστιν 26. osper gar to soma choris pneυmatos nekron estin oυtos kai e pistis choris ton ergon nekra estin

## Κεφάλαιο 3

East Original 1 Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρίμα ληψόμεθα·

Textus Receptus 1. μη πολλοι διδασκαλοι γινεσθε αδελφοι μου ειδοτες οτι μειζον κριμα ληψομεθα 1. me polloi didaskaloi ginesthe adelfoi moυ eidotes oti meizon krima lepsometha

East Original 2 πολλὰ γὰρ πταίομεν ἅπαντες. εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ

Textus Receptus 2. πολλα γαρ πταιομεν απαντες ει τις εν λογω ου πταιει ουτος τελειος ανηρ δυνατος χαλιναγωγησαι και ολον το σωμα 2. polla gar

σῶμα.

ptaiomen apantes ei tis en logo ou ptaiei outos teleios aner dunatos chalinagogesai kai olon to soma

East Original 3 ἴδε τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλομεν πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν.

Textus Receptus 3. ιδου των ιππων τους χαλινους εις τα στοματα βαλλομεν προς το πειθεσθαι αυτους ημιν και ολον το σωμα αυτων μεταγομεν 3. idou ton ippon tous chalinous eis ta stomata βallomen pros to peithesthai autous emin kai olon to soma auton metagomen

East Original 4 ἰδοὺ καὶ τὰ πλοῖα, τηλικαῦτα ὄντα καὶ ὑπὸ σκληρῶν ἀνέμων ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται.

Textus Receptus 4. ιδου και τα πλοια τηλικαυτα οντα και υπο σκληρων ανεμων ελαυνομενα μεταγεται υπο ελαχιστου πηδαλιου οπου αν η ορμη του ευθυνοντος βουληται 4. idou kai ta ploia telikauta onta kai upo skleron anemon elaunomena metagetai upo elachistou pedaliou opou an e orme tou euthunontos βouletai

East Original 5 οὕτω καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶ καὶ μεγαλαυχεῖ. ἰδοὺ ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνάπτει!

Textus Receptus 5. ουτως και η γλωσσα μικρον μελος εστιν και μεγαλαυχει ιδου ολιγον πυρ ηλικην υλην αναπτει 5. outos kai e glossa mikron melos estin kai megalauchei idou oligon pur eliken ulen anaptei

East Original 6 καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας. οὕτως ἡ γλῶσσα καθίσταται ἐν

Textus Receptus 6. και η γλωσσα πυρ ο κοσμος της αδικιας ουτως η γλωσσα καθισταται εν τοις μελεσιν

τοῖς μέλεσιν ἡμῶν ἡ σπιλοῦσα ὅλον τὸ σῶμα καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης.

ημων η σπιλουσα ολον το σωμα και φλογιζουσα τον τροχον της γενεσεως και φλογιζομενη υπο της γεεννης 6. kai e glossa pur o kosmos tes adikias outos e glossa kathistatai en tois melesin emon e spilousa olon to soma kai flogizousa ton trochon tes geneseos kai flogizomene upo tes geennes

East Original

7 πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ,

Textus Receptus

7. πασα γαρ φυσις θηριων τε και πετεινων ερπετων τε και εναλιων δαμαζεται και δεδαμασται τη φυσει τη ανθρωπινη 7. pasa gar fusis therion te kai peteinon erpeton te kai enalion damazetai kai dedamastai te fusei te anthropine

East Original

8 τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι· ἀκατάσχετον κακόν, μεστὴ ἰοῦ θανατηφόρου.

Textus Receptus

8. την δε γλωσσαν ουδεις δυναται ανθρωπων δαμασαι ακατασχετον κακον μεστη ιου θανατηφορου 8. ten de glossan oudeis dunatai anthropon damasai akatascheton kakon meste iou thanateforou

East Original

9 ἐν αὐτῇ εὐλογοῦμεν τὸν Θεὸν καὶ πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ’ ὁμοίωσιν Θεοῦ γεγονότας·

Textus Receptus

9. εν αυτη ευλογουμεν τον θεον και πατερα και εν αυτη καταρωμεθα τους ανθρωπους τους καθ ομοιωσιν θεου γεγονοτας 9. en aute eulogoumen ton theon kai patera kai en aute katarometha tous anthropous tous kath

omoiosin theou gegonotas

East Original 10 ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα. οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι.
10. εν τουτω φανερα εστιν τα τεκνα του θεου και τα τεκνα του διαβολου πας ο μη ποιων δικαιοσυνην ουκ εστιν εκ του θεου και ο μη αγαπων τον αδελφον αυτου 10. en toυto fanera estin ta tekna toυ theoυ kai ta tekna toυ

diaβolou pas o me poion dikaiosunen ouk estin ek tou theou kai o me agapon ton adelfon autou

East Original

11 ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους,

Textus Receptus

11. οτι αυτη εστιν η αγγελια ην ηκουσατε απ αρχης ινα αγαπωμεν αλληλους 11. oti aute estin e aggelia en ekousate ap arches ina agapomen allelous

East Original

12 οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ· καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια.

Textus Receptus

12. ου καθως καιν εκ του πονηρου ην και εσφαξεν τον αδελφον αυτου και χαριν τινος εσφαξεν αυτον οτι τα εργα αυτου πονηρα ην τα δε του αδελφου αυτου δικαια 12. ou kathos kain ek tou ponerou en kai esfaksen ton adelfon autou kai charin tinos esfaksen auton oti ta erga autou ponera en ta de tou adelfou autou dikaia

East Original

13 Μὴ θαυμάζετε, ἀδελφοί, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος.

Textus Receptus

13. μη θαυμαζετε αδελφοι μου ει μισει υμας ο κοσμος 13. me thaumazete adelfoi mou ei misei umas o kosmos

East Original

14 ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν μένει ἐν τῷ θανάτῳ.

Textus Receptus

14. ημεις οιδαμεν οτι μεταβεβηκαμεν εκ του θανατου εις την ζωην οτι αγαπωμεν τους αδελφους ο μη αγαπων τον αδελφον μενει εν τω θανατω 14. emeis oidamen oti metaβeβekamen ek tou thanatou eis ten zoen oti agapomen tous adelfous o me agapon ton adelfon menei en to thanato

| | | | |
|---|---|---|---|
| East Original | 15 πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστί, καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν. | Textus Receptus | 15. πας ο μισων τον αδελφον αυτου ανθρωποκτονος εστιν και οιδατε οτι πας ανθρωποκτονος ουκ εχει ζωην αιωνιον εν αυτω μενουσαν 15. pas o mison ton adelfon autou anthropoktonos estin kai oidate oti pas anthropoktonos ouk echei zoen aionion en auto menousan |
| East Original | 16 ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι. | Textus Receptus | 16. εν τουτω εγνωκαμεν την αγαπην {VAR2: του θεου } οτι εκεινος υπερ ημων την ψυχην αυτου εθηκεν και ημεις οφειλομεν υπερ των αδελφων τας ψυχας τιθεναι 16. en touto egnokamen ten agapen {VAR2: tou theou } oti ekeinos uper emon ten psuchen autou etheken kai emeis ofeilomen uper ton adelfon tas psuchas tithenai |
| East Original | 17 ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ; | Textus Receptus | 17. ος δ αν εχη τον βιον του κοσμου και θεωρη τον αδελφον αυτου χρειαν εχοντα και κλειση τα σπλαγχνα αυτου απ αυτου πως η αγαπη του θεου μενει εν αυτω 17. os d an eche ton βion tou kosmou kai theore ton adelfon autou chreian echonta kai kleise ta splagchna autou ap autou pos e agape tou theou menei en auto |

East Original

18 Τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ, ἀλλ’ ἐν ἔργῳ καὶ ἀληθείᾳ.

Textus Receptus

18. τεκνια μου μη αγαπωμεν λογω μηδε γλωσση αλλ εργω και αληθεια 18. teknia mou me agapomen logo mede glosse all ergo kai aletheia

East Original

19 καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν,

Textus Receptus

19. και εν τουτω γινωσκομεν οτι εκ της αληθειας εσμεν και εμπροσθεν αυτου πεισομεν τας καρδιας ημων 19. kai en touto ginoskomen oti ek tes aletheias esmen kai emprosthen autou peisomen tas kardias emon

East Original

20 ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ Θεὸς τῆς καρδίας ἡμῶν καὶ γινώσκει πάντα.

Textus Receptus

20. οτι εαν καταγινωσκη ημων η καρδια οτι μειζων εστιν ο θεος της καρδιας ημων και γινωσκει παντα 20. oti ean kataginoske emon e kardia oti meizon estin o theos tes kardias emon kai ginoskei panta

East Original

21 ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν,

Textus Receptus

21. αγαπητοι εαν η καρδια ημων μη καταγινωσκη ημων παρρησιαν εχομεν προς τον θεον 21. agapetoi ean e kardia emon me kataginoske emon parresian echomen pros ton theon

East Original

22 καὶ ὃ ἐὰν αἰτῶμεν λαμβάνομεν παρ’ αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.

Textus Receptus

22. και ο εαν αιτωμεν λαμβανομεν παρ αυτου οτι τας εντολας αυτου τηρουμεν και τα αρεστα ενωπιον αυτου ποιουμεν 22. kai o ean aitomen lamβanomen par autou oti tas entolas

autou teroumen kai ta aresta enopion autou poioumen

East Original

23 καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἐντολὴν.

Textus Receptus

23. και αυτη εστιν η εντολη αυτου ινα πιστευσωμεν τω ονοματι του υιου αυτου ιησου χριστου και αγαπωμεν αλληλους καθως εδωκεν εντολην ημιν 23. kai aute estin e entole autou ina pisteusomen to onomati tou uiou autou iesou christou kai agapomen allelous kathos edoken entolen emin

East Original

24 καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν αὐτῷ. καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκεν.

Textus Receptus

24. και ο τηρων τας εντολας αυτου εν αυτω μενει και αυτος εν αυτω και εν τουτω γινωσκομεν οτι μενει εν ημιν εκ του πνευματος ου ημιν εδωκεν 24. kai o teron tas entolas autou en auto menei kai autos en auto kai en touto ginoskomen oti menei en emin ek tou pneumatos ou emin edoken

## Κεφάλαιο 4

East Original

1 Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ Θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν

Textus Receptus

1. αγαπητοι μη παντι πνευματι πιστευετε αλλα δοκιμαζετε τα πνευματα ει εκ του θεου εστιν οτι πολλοι ψευδοπροφηται εξεληλυθασιν εις τον κοσμον 1. agapetoi me

κόσμον.

panti pneυmati pisteυete alla dokimazete ta pneυmata ei ek toυ theoυ estin oti polloi pseυdoprofetai ekselelυthasin eis ton kosmon

East Original

2 ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ Θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι·

Textus Receptus

2. εν τουτω γινωσκετε το πνευμα του θεου παν πνευμα ο ομολογει ιησουν χριστον εν σαρκι εληλυθοτα εκ του θεου εστιν 2. en toυto ginoskete to pneυma toυ theoυ pan pneυma o omologei iesoυn christon en sarki elelυthota ek toυ theoυ estin

East Original

3 καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι· καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη.

Textus Receptus

3. και παν πνευμα ο μη ομολογει τον ιησουν χριστον εν σαρκι εληλυθοτα εκ του θεου ουκ εστιν και τουτο εστιν το του αντιχριστου ο ακηκοατε οτι ερχεται και νυν εν τω κοσμω εστιν ηδη 3. kai pan pneυma o me omologei ton iesoυn christon en sarki elelυthota ek toυ theoυ oυk estin kai toυto estin to toυ antichristoυ o akekoate oti erchetai kai nυn en to kosmo estin ede

East Original

4 Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε, τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ.

Textus Receptus

4. υμεις εκ του θεου εστε τεκνια και νενικηκατε αυτους οτι μειζων εστιν ο εν υμιν η ο εν τω κοσμω 4. υmeis ek toυ theoυ este teknia kai nenikekate aυtoυs oti meizon estin o en υmin e o en to kosmo

| | | | |
|---|---|---|---|
| East Original | 5 αὐτοὶ ἐκ τοῦ κόσμου εἰσί· διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσι καὶ ὁ κόσμος αὐτῶν ἀκούει. | Textus Receptus | 5. αυτοι εκ του κοσμου εισιν δια τουτο εκ του κοσμου λαλουσιν και ο κοσμος αυτων ακουει 5. autoi ek tou kosmou eisin dia touto ek tou kosmou lalousin kai o kosmos auton akouei |
| East Original | 6 ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν Θεὸν ἀκούει ἡμῶν. ὃς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης. | Textus Receptus | 6. ημεις εκ του θεου εσμεν ο γινωσκων τον θεον ακουει ημων ος ουκ εστιν εκ του θεου ουκ ακουει ημων εκ τουτου γινωσκομεν το πνευμα της αληθειας και το πνευμα της πλανης 6. emeis ek tou theou esmen o ginoskon ton theon akouei emon os ouk estin ek tou theou ouk akouei emon ek toutou ginoskomen to pneuma tes aletheias kai to pneuma tes planes |
| East Original | 7 Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστι, καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ Θεοῦ γεγέννηται καὶ γινώσκει τὸν Θεόν. | Textus Receptus | 7. αγαπητοι αγαπωμεν αλληλους οτι η αγαπη εκ του θεου εστιν και πας ο αγαπων εκ του θεου γεγεννηται και γινωσκει τον θεον 7. agapetoi agapomen allelous oti e agape ek tou theou estin kai pas o agapon ek tou theou gegennetai kai ginoskei ton theon |
| East Original | 8 ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν Θεόν, ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν. | Textus Receptus | 8. ο μη αγαπων ουκ εγνω τον θεον οτι ο θεος αγαπη εστιν 8. o me agapon ouk egno ton theon oti o theos agape estin |
| East Original | 9 ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ | Textus Receptus | 9. εν τουτω εφανερωθη η αγαπη του θεου εν |

ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν ὁ Θεὸς εἰς τὸν κόσμον ἵνα ζήσωμεν δι᾽ αὐτοῦ.

ημιν οτι τον υιον αυτου τον μονογενη απεσταλκεν ο θεος εις τον κοσμον ινα ζησωμεν δι αυτου 9. en touto efanerothe e agape tou theou en emin oti ton uion autou ton monogene apestalken o theos eis ton kosmon ina zesomen di autou

East Original

10 ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν Θεόν, ἀλλ᾽ ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς καὶ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

Textus Receptus

10. εν τουτω εστιν η αγαπη ουχ οτι ημεις ηγαπησαμεν τον θεον αλλ οτι αυτος ηγαπησεν ημας και απεστειλεν τον υιον αυτου ιλασμον περι των αμαρτιων ημων 10. en touto estin e agape ouch oti emeis egapesamen ton theon all oti autos egapesen emas kai apesteilen ton uion autou ilasmon peri ton amartion emon

East Original

11 Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν.

Textus Receptus

11. αγαπητοι ει ουτως ο θεος ηγαπησεν ημας και ημεις οφειλομεν αλληλους αγαπαν 11. agapetoi ei outos o theos egapesen emas kai emeis ofeilomen allelous agapan

East Original

12 Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν.

Textus Receptus

12. θεον ουδεις πωποτε τεθεαται εαν αγαπωμεν αλληλους ο θεος εν ημιν μενει και η αγαπη αυτου τετελειωμενη εστιν εν ημιν 12. theon oudeis popote tetheatai ean agapomen allelous o theos en emin menei kai e

agape autou teteleiomene estin en emin

East Original

13 ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν.

Textus Receptus

13. εν τουτω γινωσκομεν οτι εν αυτω μενομεν και αυτος εν ημιν οτι εκ του πνευματος αυτου δεδωκεν ημιν 13. en touto ginoskomen oti en auto menomen kai autos en emin oti ek tou pneumatos autou dedoken emin

East Original

14 Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου.

Textus Receptus

14. και ημεις τεθεαμεθα και μαρτυρουμεν οτι ο πατηρ απεσταλκεν τον υιον σωτηρα του κοσμου 14. kai emeis tetheametha kai marturoumen oti o pater apestalken ton uion sotera tou kosmou

East Original

15 ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ Θεῷ.

Textus Receptus

15. ος αν ομολογηση οτι ιησους εστιν ο υιος του θεου ο θεος εν αυτω μενει και αυτος εν τω θεω 15. os an omologese oti iesous estin o uios tou theou o theos en auto menei kai autos en to theo

East Original

16 καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστί, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει καὶ ὁ Θεὸς ἐν αὐτῷ.

Textus Receptus

16. και ημεις εγνωκαμεν και πεπιστευκαμεν την αγαπην ην εχει ο θεος εν ημιν ο θεος αγαπη εστιν και ο μενων εν τη αγαπη εν τω θεω μενει και ο θεος εν αυτω 16. kai emeis egnokamen kai pepisteukamen ten agapen en echei o theos en emin o theos agape estin kai o menon en te agape en to theo menei kai o theos

en auto

East Original

17 Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ’ ἡμῶν, ἵνα παρρησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ.

Textus Receptus

17. εν τουτω τετελειωται η αγαπη μεθ ημων ινα παρρησιαν εχωμεν εν τη ημερα της κρισεως οτι καθως εκεινος εστιν και ημεις εσμεν εν τω κοσμω τουτω 17. en touto teteleiotai e agape meth emon ina parresian echomen en te emera tes kriseos oti kathos ekeinos estin kai emeis esmen en to kosmo touto

East Original

18 φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ’ ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει, ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ.

Textus Receptus

18. φοβος ουκ εστιν εν τη αγαπη αλλ η τελεια αγαπη εξω βαλλει τον φοβον οτι ο φοβος κολασιν εχει ο δε φοβουμενος ου τετελειωται εν τη αγαπη 18. foβos ouk estin en te agape all e teleia agape ekso βallei ton foβon oti o foβos kolasin echei o de foβoumenos ou teteleiotai en te agape

East Original

19 Ἡμεῖς ἀγαπῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς.

Textus Receptus

19. ημεις αγαπωμεν αυτον οτι αυτος πρωτος ηγαπησεν ημας 19. emeis agapomen auton oti autos protos egapesen emas

East Original

20 ἐάν τις εἴπῃ ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε πῶς

Textus Receptus

20. εαν τις ειπη οτι αγαπω τον θεον και τον αδελφον αυτου μιση ψευστης εστιν ο γαρ μη αγαπων τον αδελφον αυτου ον εωρακεν τον θεον ον ουχ εωρακεν πως δυναται αγαπαν

δύναται ἀγαπᾶν;

20. ean tis eipe oti agapo ton theon kai ton adelfon aυtoυ mise pseυstes estin o gar me agapon ton adelfon aυtoυ on eoraken ton theon on oυch eoraken pos dυnatai agapan

East Original

21 καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

Textus Receptus

21. και ταυτην την εντολην εχομεν απ αυτου ινα ο αγαπων τον θεον αγαπα και τον αδελφον αυτου 21. kai taυten ten entolen echomen ap aυtoυ ina o agapon ton theon agapa kai ton adelfon aυtoυ

## Κεφάλαιο 5

East Original

1 Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ἐκ τοῦ Θεοῦ γεγέννηται, καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ.

Textus Receptus

1. πας ο πιστευων οτι ιησους εστιν ο χριστος εκ του θεου γεγεννηται και πας ο αγαπων τον γεννησαντα αγαπα και τον γεγεννημενον εξ αυτου 1. pas o pisteυon oti iesoυs estin o christos ek toυ theoυ gegennetai kai pas o agapon ton gennesanta agapa kai ton gegennemenon eks aυtoυ

East Original

2 ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν.

Textus Receptus

2. εν τουτω γινωσκομεν οτι αγαπωμεν τα τεκνα του θεου οταν τον θεον αγαπωμεν και τας εντολας αυτου τηρωμεν 2. en toυto ginoskomen oti agapomen ta tekna toυ theoυ

otan ton theon agapomen kai tas entolas autou teromen

East Original

3 αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν,

Textus Receptus

3. αυτη γαρ εστιν η αγαπη του θεου ινα τας εντολας αυτου τηρωμεν και αι εντολαι αυτου βαρειαι ουκ εισιν 3. aute gar estin e agape tou theou ina tas entolas autou teromen kai ai entolai autou bareiai ouk eisin

East Original

4 ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν.

Textus Receptus

4. οτι παν το γεγεννημενον εκ του θεου νικα τον κοσμον και αυτη εστιν η νικη η νικησασα τον κοσμον η πιστις ημων 4. oti pan to gegennemenon ek tou theou nika ton kosmon kai aute estin e nike e nikesasa ton kosmon e pistis emon

East Original

5 τίς ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ;

Textus Receptus

5. τις εστιν ο νικων τον κοσμον ει μη ο πιστευων οτι ιησους εστιν ο υιος του θεου 5. tis estin o nikon ton kosmon ei me o pisteuon oti iesous estin o uios tou theou

East Original

6 Οὗτός ἐστιν ὁ ἐλθὼν δι’ ὕδατος καὶ αἵματος, Ἰησοῦς Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ’ ἐν τῷ ὕδατι καὶ τῷ αἵματι· καὶ τὸ Πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια.

Textus Receptus

6. ουτος εστιν ο ελθων δι υδατος και αιματος ιησους ο χριστος ουκ εν τω υδατι μονον αλλ εν τω υδατι και τω αιματι και το πνευμα εστιν το μαρτυρουν οτι το πνευμα εστιν η αληθεια 6. outos estin o elthon di udatos kai aimatos iesous o christos ouk en to udati monon

all en to υdati kai to aimati kai to pneυma estin
to martυroυn oti to pneυma estin e aletheia

East Original

7 ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ
οὐρανῷ, ὁ Πατὴρ, ὁ Λόγος καὶ τὸ ἅγιον
Πνεῦμα, καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι.

Textus Receptus

7. οτι τρεις εισιν οι μαρτυρουντες εν τω
ουρανω ο πατηρ ο λογος και το αγιον πνευμα
και ουτοι οι τρεις εν εισιν 7. oti treis eisin oi
martυroυntes en to oυrano o pater o logos kai
to agion pneυma kai oυtoi oi treis en eisin

East Original

8 καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ
γῇ, τὸ Πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα,
καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.

Textus Receptus

8. και τρεις εισιν οι μαρτυρουντες εν τη γη το
πνευμα και το υδωρ και το αιμα και οι τρεις
εις το εν εισιν 8. kai treis eisin oi martυroυntes
en te ge to pneυma kai to υdor kai to aima kai
oi treis eis to en eisin

East Original

9 εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων
λαμβάνομεν, ἡ μαρτυρία τοῦ Θεοῦ
μείζων ἐστίν· ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία
τοῦ Θεοῦ ἣν μεμαρτύρηκε περὶ τοῦ υἱοῦ
αὐτοῦ.

Textus Receptus

9. ει την μαρτυριαν των ανθρωπων
λαμβανομεν η μαρτυρια του θεου μειζων
εστιν οτι αυτη εστιν η μαρτυρια του θεου ην
μεμαρτυρηκεν περι του υιου αυτου 9. ei ten
martυrian ton anthropon lamβanomen e
martυria toυ theoυ meizon estin oti aυte estin e
martυria toυ theoυ en memartυreken peri toυ
υioυ aυtoυ

East Original

10 ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ ἔχει
τὴν μαρτυρίαν ἐν αὑτῷ· ὁ μὴ πιστεύων
τῷ Θεῷ ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐ

Textus Receptus

10. ο πιστευων εις τον υιον του θεου εχει την
μαρτυριαν εν εαυτω ο μη πιστευων τω θεω
ψευστην πεποιηκεν αυτον οτι ου

πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκε ὁ Θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ.

πεπιστευκεν εις την μαρτυριαν ην μεμαρτυρηκεν ο θεος περι του υιου αυτου 10. o pisteυon eis ton υion toυ theoυ echei ten martυrian en eaυto o me pisteυon to theo pseυsten pepoieken aυton oti oυ pepisteυken eis ten martυrian en memartυreken o theos peri toυ υioυ aυtoυ

East Original

11 καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ Θεός, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν.

Textus Receptus

11. και αυτη εστιν η μαρτυρια οτι ζωην αιωνιον εδωκεν ημιν ο θεος και αυτη η ζωη εν τω υιω αυτου εστιν 11. kai aυte estin e martυria oti zoen aionion edoken emin o theos kai aυte e zoe en to υio aυtoυ estin

East Original

12 ὁ ἔχων τὸν υἱὸν ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ Θεοῦ τὴν ζωὴν οὐκ ἔχει.

Textus Receptus

12. ο εχων τον υιον εχει την ζωην ο μη εχων τον υιον του θεου την ζωην ουκ εχει 12. o echon ton υion echei ten zoen o me echon ton υion toυ theoυ ten zoen oυk echei

East Original

13 Ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ, ἵνα εἰδῆτε ὅτι ζωὴν αἰώνιον ἔχετε, καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ.

Textus Receptus

13. ταυτα εγραψα υμιν τοις πιστευουσιν εις το ονομα του υιου του θεου ινα ειδητε οτι ζωην εχετε αιωνιον και ινα πιστευητε εις το ονομα του υιου του θεου 13. taυta egrapsa υmin tois pisteυoυsin eis to onoma toυ υioυ toυ theoυ ina eidete oti zoen echete aionion kai ina pisteυete eis to onoma toυ υioυ toυ theoυ

East Original

14 καὶ αὕτη ἐστὶν ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει ἡμῶν.

Textus Receptus

14. και αυτη εστιν η παρρησια ην εχομεν προς αυτον οτι εαν τι αιτωμεθα κατα το θελημα αυτου ακουει ημων 14. kai aute estin e parresia en echomen pros auton oti ean ti aitometha kata to thelema autou akouei emon

East Original

15 καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει ἡμῶν ὃ ἐὰν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν παρ’ αὐτοῦ.

Textus Receptus

15. και εαν οιδαμεν οτι ακουει ημων ο αν αιτωμεθα οιδαμεν οτι εχομεν τα αιτηματα α ητηκαμεν παρ αυτου 15. kai ean oidamen oti akouei emon o an aitometha oidamen oti echomen ta aitemata a etekamen par autou

East Original

16 Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωήν, τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον. ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ.

Textus Receptus

16. εαν τις ιδη τον αδελφον αυτου αμαρτανοντα αμαρτιαν μη προς θανατον αιτησει και δωσει αυτω ζωην τοις αμαρτανουσιν μη προς θανατον εστιν αμαρτια προς θανατον ου περι εκεινης λεγω ινα ερωτηση 16. ean tis ide ton adelfon autou amartanonta amartian me pros thanaton aitesei kai dosei auto zoen tois amartanousin me pros thanaton estin amartia pros thanaton ou peri ekeines lego ina erotese

East Original

17 πᾶσα ἀδικία ἁμαρτία ἐστί· καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον.

Textus Receptus

17. πασα αδικια αμαρτια εστιν και εστιν αμαρτια ου προς θανατον 17. pasa adikia amartia estin kai estin amartia ou pros thanaton

| | | | |
|---|---|---|---|
| East Original | 18 οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ οὐχ ἁμαρτάνει, ἀλλ’ ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. | Textus Receptus | 18. οιδαμεν οτι πας ο γεγεννημενος εκ του θεου ουχ αμαρτανει αλλ ο γεννηθεις εκ του θεου τηρει εαυτον και ο πονηρος ουχ απτεται αυτου 18. oidamen oti pas o gegennemenos ek tou theou ouch amartanei all o gennetheis ek tou theou terei eauton kai o poneros ouch aptetai autou |
| East Original | 19 οἴδαμεν ὅτι ἐκ τοῦ Θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται. | Textus Receptus | 19. οιδαμεν οτι εκ του θεου εσμεν και ο κοσμος ολος εν τω πονηρω κειται 19. oidamen oti ek tou theou esmen kai o kosmos olos en to ponero keitai |
| East Original | 20 οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει καὶ δέδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκομεν τὸν ἀληθινόν· καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος. | Textus Receptus | 20. οιδαμεν δε οτι ο υιος του θεου ηκει και δεδωκεν ημιν διανοιαν ινα γινωσκωμεν τον αληθινον και εσμεν εν τω αληθινω εν τω υιω αυτου ιησου χριστω ουτος εστιν ο αληθινος θεος και η ζωη αιωνιος 20. oidamen de oti o uios tou theou ekei kai dedoken emin dianoian ina ginoskomen ton alethinon kai esmen en to alethino en to uio autou iesou christo outos estin o alethinos theos kai e zoe aionios |
| East Original | 21 Τεκνία, φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων· ἀμήν. | Textus Receptus | 21. τεκνια φυλαξατε εαυτους απο των ειδωλων αμην 21. teknia fulaksate eautous apo ton eidolon amen |

# Β ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ

## Κεφάλαιο 1

East Original

1 Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν,

Textus Receptus

1. ο πρεσβυτερος εκλεκτη κυρια και τοις τεκνοις αυτης ους εγω αγαπω εν αληθεια και ουκ εγω μονος αλλα και παντες οι εγνωκοτες την αληθειαν 1. o presbuteros eklekte kuria kai tois teknois autes ous ego agapo en aletheia kai ouk ego monos alla kai pantes oi egnokotes ten aletheian

East Original

2 διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ’ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα·

Textus Receptus

2. δια την αληθειαν την μενουσαν εν ημιν και μεθ ημων εσται εις τον αιωνα 2. dia ten aletheian ten menousan en emin kai meth emon estai eis ton aiona

East Original

3 ἔσται μεθ’ ὑμῶν χάρις, ἔλεος, εἰρήνη παρὰ Θεοῦ πατρός καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

Textus Receptus

3. εσται μεθ {VAR1: ημων } {VAR2: υμων } χαρις ελεος ειρηνη παρα θεου πατρος και παρα κυριου ιησου χριστου του υιου του πατρος εν αληθεια και αγαπη 3. estai meth {VAR1: emon } {VAR2: umon } charis eleos eirene para theou patros kai para kuriou iesou

christou tou uiou tou patros en aletheia kai agape

East Original

4 Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός.

Textus Receptus

4. εχαρην λιαν οτι ευρηκα εκ των τεκνων σου περιπατουντας εν αληθεια καθως εντολην ελαβομεν παρα του πατρος 4. echaren lian oti eureka ek ton teknon sou peripatountas en aletheia kathos entolen elaβomen para tou patros

East Original

5 καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, ἀλλὰ ἣν εἴχομεν ἀπ’ ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους.

Textus Receptus

5. και νυν ερωτω σε κυρια ουχ ως εντολην {VAR1: γραφω } {VAR2: γραφων } σοι καινην αλλα ην ειχομεν απ αρχης ινα αγαπωμεν αλληλους 5. kai nun eroto se kuria ouch os entolen {VAR1: grafo } {VAR2: grafon } soi kainen alla en eichomen ap arches ina agapomen allelous

East Original

6 καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. αὕτη ἐστὶν ἡ ἐντολή, καθὼς ἠκούσατε ἀπ’ ἀρχῆς ἵνα ἐν αὐτῇ περιπατῆτε.

Textus Receptus

6. και αυτη εστιν η αγαπη ινα περιπατωμεν κατα τας εντολας αυτου αυτη εστιν η εντολη καθως ηκουσατε απ αρχης ινα εν αυτη περιπατητε 6. kai aute estin e agape ina peripatomen kata tas entolas autou aute estin e entole kathos ekousate ap arches ina en aute peripatete

East Original

7 ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν

Textus Receptus

7. οτι πολλοι πλανοι εισηλθον εις τον κοσμον

κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος.

οι μη ομολογουντες ιησουν χριστον ερχομενον εν σαρκι ουτος εστιν ο πλανος και ο αντιχριστος 7. oti polloi planoi eiselthon eis ton kosmon oi me omologoυntes iesoυn christon erchomenon en sarki oυtos estin o planos kai o antichristos

East Original

8 βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν.

Textus Receptus

8. βλεπετε εαυτους ινα μη απολεσωμεν α ειργασαμεθα αλλα μισθον πληρη απολαβωμεν 8. βlepete eaυtoυs ina me apolesomen a eirgasametha alla misthon plere apolaβomen

East Original

9 πᾶς ὁ παραβαίνων καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ Θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει.

Textus Receptus

9. πας ο παραβαινων και μη μενων εν τη διδαχη του χριστου θεον ουκ εχει ο μενων εν τη διδαχη του χριστου ουτος και τον πατερα και τον υιον εχει 9. pas o paraβainon kai me menon en te didache toυ christoυ theon oυk echei o menon en te didache toυ christoυ oυtos kai ton patera kai ton υion echei

East Original

10 εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε·

Textus Receptus

10. ει τις ερχεται προς υμας και ταυτην την διδαχην ου φερει μη λαμβανετε αυτον εις οικιαν και χαιρειν αυτω μη λεγετε 10. ei tis erchetai pros υmas kai taυten ten didachen oυ ferei me lamβanete aυton eis oikian kai chairein

auto me legete

East Original 11 ὁ γὰρ λέγων αὐτῷ χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

Textus Receptus 11. ο γαρ λεγων αυτω χαιρειν κοινωνει τοις εργοις αυτου τοις πονηροις 11. o gar legon auto chairein koinonei tois ergois autou tois ponerois

East Original 12 Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἠβουλήθην διὰ χάρτου καὶ μέλανος, ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.

Textus Receptus 12. πολλα εχων υμιν γραφειν ουκ ηβουληθην δια χαρτου και μελανος αλλα ελπιζω ελθειν προς υμας και στομα προς στομα λαλησαι ινα η χαρα ημων η πεπληρωμενη 12. polla echon umin grafein ouk eboulethen dia chartou kai melanos alla elpizo elthein pros umas kai stoma pros stoma lalesai ina e chara emon e pepleromene

East Original 13 ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς· ἀμήν.

Textus Receptus 13. ασπαζεται σε τα τεκνα της αδελφης σου της εκλεκτης αμην 13. aspazetai se ta tekna tes adelfes sou tes eklektes amen

# Γ ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ

## Κεφάλαιο 1

East Original 1 Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν

Textus Receptus 1. ο πρεσβυτερος γαιω τω αγαπητω ον εγω

ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.

αγαπω εν αληθεια 1. o presβuteros gaio to agapeto on ego agapo en aletheia

East Original

2 Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή.

Textus Receptus

2. αγαπητε περι παντων ευχομαι σε ευοδουσθαι και υγιαινειν καθως ευοδουται σου η ψυχη 2. agapete peri panton euchomai se euodousthai kai ugiainein kathos euodoutai sou e psuche

East Original

3 ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.

Textus Receptus

3. εχαρην γαρ λιαν ερχομενων αδελφων και μαρτυρουντων σου τη αληθεια καθως συ εν αληθεια περιπατεις 3. echaren gar lian erchomenon adelfon kai marturounton sou te aletheia kathos su en aletheia peripateis

East Original

4 μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα.

Textus Receptus

4. μειζοτεραν τουτων ουκ εχω χαραν ινα ακουω τα εμα τεκνα εν αληθεια περιπατουντα 4. meizoteran touton ouk echo charan ina akouo ta ema tekna en aletheia peripatounta

East Original

5 Ἀγαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους,

Textus Receptus

5. αγαπητε πιστον ποιεις ο εαν εργαση εις τους αδελφους και εις τους ξενους 5. agapete piston poieis o ean ergase eis tous adelfous kai eis tous ksenous

East Original

6 οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας, οὓς καλῶς ποιήσεις

Textus Receptus

6. οι εμαρτυρησαν σου τη αγαπη ενωπιον εκκλησιας ους καλως ποιησεις προπεμψας

προπέμψας ἀξίως τοῦ Θεοῦ.

αξιως του θεου 6. oi emarturesan sou te agape enopion ekklesias ous kalos poieseis propempsas aksios tou theou

East Original

7 ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνικῶν.

Textus Receptus

7. υπερ γαρ του ονοματος {VAR2: αυτου } εξηλθον μηδεν λαμβανοντες απο των εθνων 7. uper gar tou onomatos {VAR2: autou } ekselthon meden lamβanontes apo ton ethnon

East Original

8 Ἡμεῖς οὖν ὀφείλομεν ὑπολαμβάνειν τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ.

Textus Receptus

8. ημεις ουν οφειλομεν απολαμβανειν τους τοιουτους ινα συνεργοι γινωμεθα τη αληθεια 8. emeis oun ofeilomen apolamβanein tous toioutous ina sunergoi ginometha te aletheia

East Original

9 Ἔγραψα τῇ ἐκκλησίᾳ· ἀλλ’ ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ ἐπιδέχεται ἡμᾶς.

Textus Receptus

9. εγραψα τη εκκλησια αλλ ο φιλοπρωτευων αυτων διοτρεφης ουκ επιδεχεται ημας 9. egrapsa te ekklesia all o filoproteuon auton diotrefes ouk epidechetai emas

East Original

10 διὰ τοῦτο, ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς· καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς καὶ τοὺς βουλομένους κωλύει καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.

Textus Receptus

10. δια τουτο εαν ελθω υπομνησω αυτου τα εργα α ποιει λογοις πονηροις φλυαρων ημας και μη αρκουμενος επι τουτοις ουτε αυτος επιδεχεται τους αδελφους και τους βουλομενους κωλυει και εκ της εκκλησιας εκβαλλει 10. dia touto ean eltho upomneso autou ta erga a poiei logois ponerois fluaron emas kai me arkoumenos epi toutois oute autos

epidechetai tous adelfous kai tous βoulomenous kolυei kai ek tes ekklesias ekβallei

East Original

11 Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακὸν, ἀλλὰ τὸ ἀγαθόν. ὁ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστιν· ὁ κακοποιῶν οὐχ ἑώρακε τὸν Θεόν.

Textus Receptus

11. αγαπητε μη μιμου το κακον αλλα το αγαθον ο αγαθοποιων εκ του θεου εστιν ο δε κακοποιων ουχ εωρακεν τον θεον 11. agapete me mimou to kakon alla to agathon o agathopoion ek tou theou estin o de kakopoion ouch eoraken ton theon

East Original

12 Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων καὶ ὑπ᾽ αὐτῆς τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἴδατε ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι.

Textus Receptus

12. δημητριω μεμαρτυρηται υπο παντων και υπ αυτης της αληθειας και ημεις δε μαρτυρουμεν και οιδατε οτι η μαρτυρια ημων αληθης εστιν 12. demetrio memartυretai υpo panton kai υp aυtes tes aletheias kai emeis de martυroυmen kai oidate oti e martυria emon alethes estin

East Original

13 Πολλὰ εἶχον γράφειν, ἀλλ᾽ οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι·

Textus Receptus

13. πολλα ειχον γραφειν αλλ ου θελω δια μελανος και καλαμου σοι γραψαι 13. polla eichon grafein all oυ thelo dia melanos kai kalamoυ soi grapsai

East Original

14 ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα λαλήσομεν.

Textus Receptus

14. ελπιζω δε ευθεως ιδειν σε και στομα προς στομα λαλησομεν 14. elpizo de eυtheos idein se kai stoma pros stoma lalesomen

East Original

15 εἰρήνη σοι. ἀσπάζονταί σε οἱ φίλοι.

Textus Receptus

15. ειρηνη σοι ασπαζονται σε οι φιλοι

ἀσπάζου τοὺς φίλους κατ’ ὄνομα.

ασπαζου τους φιλους κατ ονομα 15. eirene soi aspazontai se oi filoi aspazou tous filous kat onoma

# ΕΠΙΣΤΟΛΗ ΙΟΥΔΑ

## Κεφάλαιο 1

East Original

1 Ἰούδας, Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ πατρὶ ἡγιασμένοις καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς·

Textus Receptus

1. ιουδας ιησου χριστου δουλος αδελφος δε ιακωβου τοις εν θεω πατρι ηγιασμενοις και ιησου χριστω τετηρημενοις κλητοις 1. ioudas iesou christou doulos adelfos de iakoβou tois en theo patri egiasmenois kai iesou christo teteremenois kletois

East Original

2 ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη.

Textus Receptus

2. ελεος υμιν και ειρηνη και αγαπη πληθυνθειη 2. eleos umin kai eirene kai agape plethuntheie

East Original

3 Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει.

Textus Receptus

3. αγαπητοι πασαν σπουδην ποιουμενος γραφειν υμιν περι της κοινης σωτηριας αναγκην εσχον γραψαι υμιν παρακαλων επαγωνιζεσθαι τη απαξ παραδοθειση τοις αγιοις πιστει 3. agapetoi pasan spouden

poioυmenos grafein υmin peri tes koines
soterias anagken eschon grapsai υmin
parakalon epagonizesthai te apaks
paradotheise tois agiois pistei

East Original

4 παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον δεσπότην καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.

Textus Receptus

4. παρεισεδυσαν γαρ τινες ανθρωποι οι
παλαι προγεγραμμενοι εις τουτο το κριμα
ασεβεις την του θεου ημων χαριν
μετατιθεντες εις ασελγειαν και τον μονον
δεσποτην θεον και κυριον ημων ιησουν
χριστον αρνουμενοι 4. pareisedυsan gar tines
anthropoi oi palai progegrammenoi eis toυto to
krima aseβeis ten toυ theoυ emon charin
metatithentes eis aselgeian kai ton monon
despoten theon kai kυrion emon iesoυn
christon arnoυmenoi

East Original

5 Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος λαὸν ἐκ τῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν,

Textus Receptus

5. υπομνησαι δε υμας βουλομαι ειδοτας υμας
απαξ τουτο οτι ο κυριος λαον εκ γης
αιγυπτου σωσας το δευτερον τους μη
πιστευσαντας απωλεσεν 5. υpomnesai de
υmas βoυlomai eidotas υmas apaks toυto oti o
kυrios laon ek ges aigυptoυ sosas to deυteron
toυs me pisteυsantas apolesen

East Original

6 ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν

Textus Receptus

6. αγγελους τε τους μη τηρησαντας την

ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν·

εαυτων αρχην αλλα απολιποντας το ιδιον οικητηριον εις κρισιν μεγαλης ημερας δεσμοις αιδιοις υπο ζοφον τετηρηκεν 6. aggelous te tous me teresantas ten eauton archen alla apolipontas to idion oiketerion eis krisin megales emeras desmois aidiois upo zofon tetereken

East Original

7 ὡς Σόδομα καὶ Γόμορρα καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.

Textus Receptus

7. ως σοδομα και γομορρα και αι περι αυτας πολεις τον ομοιον τουτοις τροπον εκπορνευσασαι και απελθουσαι οπισω σαρκος ετερας προκεινται δειγμα πυρος αιωνιου δικην υπεχουσαι 7. os sodoma kai gomorra kai ai peri autas poleis ton omoion toutois tropon ekporneusasai kai apelthousai opiso sarkos eteras prokeintai deigma puros aioniou diken upechousai

East Original

8 ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν.

Textus Receptus

8. ομοιως μεντοι και ουτοι ενυπνιαζομενοι σαρκα μεν μιαινουσιν κυριοτητα δε αθετουσιν δοξας δε βλασφημουσιν 8. omoios mentoi kai outoi enupniazomenoi sarka men miainousin kurioteta de athetousin doksas de βlasfemousin

East Original

9 ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ

Textus Receptus

9. ο δε μιχαηλ ο αρχαγγελος οτε τω διαβολω

διαβόλῳ διακρινόμενος διελέγετο περὶ
τοῦ Μωϋσέως σώματος, οὐκ ἐτόλμησε
κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ’
εἶπεν· ἐπιτιμήσαι σοι Κύριος.

διακρινομενος διελεγετο περι του μωσεως
σωματος ουκ ετολμησεν κρισιν επενεγκειν
βλασφημιας αλλ ειπεν επιτιμησαι σοι κυριος
9. o de michael o archaggelos ote to diaβolo
diakrinomenos dielegeto peri tou moseos
somatos ouk etolmesen krisin epenegkein
βlasfemias all eipen epitimesai soi kurios

East Original

10 οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι
βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς ὡς τὰ
ἄλογα ζῷα ἐπίστανται, ἐν τούτοις
φθείρονται.

Textus Receptus

10. ουτοι δε οσα μεν ουκ οιδασιν
βλασφημουσιν οσα δε φυσικως ως τα αλογα
ζωα επιστανται εν τουτοις φθειρονται 10.
outoi de osa men ouk oidasin βlasfemousin osa
de fusikos os ta aloga zoa epistantai en toutois
ftheirontai

East Original

11 οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν
ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ
μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ
Κόρε ἀπώλοντο.

Textus Receptus

11. ουαι αυτοις οτι τη οδω του καιν
επορευθησαν και τη πλανη του βαλααμ
μισθου εξεχυθησαν και τη αντιλογια του
κορε απωλοντο 11. ouai autois oti te odo tou
kain eporeuthesan kai te plane tou βalaam
misthou eksechuthesan kai te antilogia tou kore
apolonto

East Original

12 Οὗτοί εἰσιν οἱ ἐν ταῖς ἀγάπαις ὑμῶν
σπιλάδες, συνευωχούμενοι ἀφόβως,
ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι

Textus Receptus

12. ουτοι εισιν εν ταις αγαπαις υμων
σπιλαδες συνευωχουμενοι {VAR2: υμιν }
αφοβως εαυτους ποιμαινοντες νεφελαι

ὑπὸ ἀνέμων παραφερόμεναι, δένδρα φθινοπωρινὰ ἄκαρπα, δὶς ἀποθανόντα, ἐκριζωθέντα,

ανυδροι υπο ανεμων περιφερομεναι δενδρα φθινοπωρινα ακαρπα δις αποθανοντα εκριζωθεντα 12. outoi eisin en tais agapais umon spilades sunevochoumenoi {VAR2: umin } afoβos eautous poimainontes nefelai anudroi upo anemon periferomenai dendra fthinoporina akarpa dis apothanonta ekrizothenta

East Original

13 κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας, ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς τὸν αἰῶνα τετήρηται.

Textus Receptus

13. κυματα αγρια θαλασσης επαφριζοντα τας εαυτων αισχυνας αστερες πλανηται οις ο ζοφος του σκοτους εις τον αιωνα τετηρηται 13. kumata agria thalasses epafrizonta tas eauton aischunas asteres planetai ois o zofos tou skotous eis ton aiona teteretai

East Original

14 προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἑνὼχ λέγων· ἰδοὺ ἦλθε Κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ,

Textus Receptus

14. προεφητευσεν δε και τουτοις εβδομος απο αδαμ ενωχ λεγων ιδου ηλθεν κυριος εν μυριασιν αγιαις αυτου 14. proefeteusen de kai toutois eβdomos apo adam enoch legon idou elthen kurios en muriasin agiais autou

East Original

15 ποιῆσαι κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν

Textus Receptus

15. ποιησαι κρισιν κατα παντων και εξελεγξαι παντας τους ασεβεις αυτων περι παντων των εργων ασεβειας αυτων ων ησεβησαν και περι παντων των σκληρων ων

ὧν ἐλάλησαν κατ’ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς.

εσαλησαν κατ αυτου αμαρτωλοι ασεβεις 15. poiesai krisin kata panton kai ekselegksai pantas tous aseβeis auton peri panton ton ergon aseβeias auton on eseβesan kai peri panton ton skleron on elalesan kat autou amartoloi aseβeis

East Original

16 Οὗτοί εἰσι γογγυσταί, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.

Textus Receptus

16. ουτοι εισιν γογγυσται μεμψιμοιροι κατα τας επιθυμιας αυτων πορευομενοι και το στομα αυτων λαλει υπερογκα θαυμαζοντες προσωπα ωφελειας χαριν 16. outoi eisin goggustai mempsimoiroi kata tas epithumias auton poreuomenoi kai to stoma auton lalei uperogka thaumazontes prosopa ofeleias charin

East Original

17 Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

Textus Receptus

17. υμεις δε αγαπητοι μνησθητε των ρηματων των προειρημενων υπο των αποστολων του κυριου ημων ιησου χριστου 17. umeis de agapetoi mnesthete ton rematon ton proeiremenon upo ton apostolon tou kuriou emon iesou christou

East Original

18 ὅτι ἔλεγον ὑμῖν ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν.

Textus Receptus

18. οτι ελεγον υμιν οτι εν εσχατω χρονω εσονται εμπαικται κατα τας εαυτων επιθυμιας πορευομενοι των ασεβειων 18. oti elegon umin oti en eschato chrono esontai empaiktai kata tas eauton epithumias

| | | | |
|---|---|---|---|
| | | | poreυomenoi ton aseβeion |
| East Original | 19 Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοί, Πνεῦμα μὴ ἔχοντες. | Textus Receptus | 19. ουτοι εισιν οι αποδιοριζοντες {VAR2: εαυτους } ψυχικοι πνευμα μη εχοντες 19. oυtoi eisin oi apodiorizontes {VAR2: eaυtoυs } psυchikoi pneυma me echontes |
| East Original | 20 Ὑμεῖς δέ, ἀγαπητοί, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς, ἐν Πνεύματι ἁγίῳ προσευχόμενοι, | Textus Receptus | 20. υμεις δε αγαπητοι τη αγιωτατη υμων πιστει εποικοδομουντες εαυτους εν πνευματι αγιω προσευχομενοι 20. υmeis de agapetoi te agiotate υmon pistei epoikodomoυntes eaυtoυs en pneυmati agio proseυchomenoi |
| East Original | 21 ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ζωὴν αἰώνιον. | Textus Receptus | 21. εαυτους εν αγαπη θεου τηρησατε προσδεχομενοι το ελεος του κυριου ημων ιησου χριστου εις ζωην αιωνιον 21. eaυtoυs en agape theoυ teresate prosdechomenoi to eleos toυ kυrioυ emon iesoυ christoυ eis zoen aionion |
| East Original | 22 καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι, | Textus Receptus | 22. και ους μεν ελεειτε διακρινομενοι 22. kai oυs men eleeite diakrinomenoi |
| East Original | 23 οὓς δὲ ἐν φόβῳ σῴζετε, ἐκ τοῦ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα. | Textus Receptus | 23. ους δε εν φοβω σωζετε εκ του πυρος αρπαζοντες μισουντες και τον απο της σαρκος εσπιλωμενον χιτωνα 23. oυs de en foβo sozete ek toυ pυros arpazontes misoυntes kai ton apo tes sarkos espilomenon chitona |
| East Original | 24 Τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς | Textus Receptus | 24. τω δε δυναμενω φυλαξαι {VAR1: αυτους } |

ἀπταίστους καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει,

{VAR2: υμας } απταιστους και στησαι κατενωπιον της δοξης αυτου αμωμους εν αγαλλιασει 24. to de dunameno fulaksai {VAR1: autous } {VAR2: umas } aptaistous kai stesai katenopion tes dokses autou amomous en agalliasei

East Original

25 μόνῳ σοφῷ Θεῷ σωτῆρι ἡμῶν, δόξα καὶ μεγαλωσύνη, κράτος καὶ ἐξουσία καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας· ἀμήν.

Textus Receptus

25. μονω σοφω θεω σωτηρι ημων δοξα και μεγαλωσυνη κρατος και εξουσια και νυν και εις παντας τους αιωνας αμην 25. mono sofo theo soteri emon doksa kai megalosune kratos kai eksousia kai nun kai eis pantas tous aionas amen

# ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ

## Κεφάλαιο 1

East Original

1 Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ Θεός, δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει, καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ,

Textus Receptus

1. αποκαλυψις ιησου χριστου ην εδωκεν αυτω ο θεος δειξαι τοις δουλοις αυτου α δει γενεσθαι εν ταχει και εσημανεν αποστειλας δια του αγγελου αυτου τω δουλω αυτου ιωαννη 1. apokalupsis iesou christou en edoken

auto o theos deiksai tois doulois autou a dei genesthai en tachei kai esemanen aposteilas dia tou aggelou autou to doulo autou ioanne

East Original

2 ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ Θεοῦ καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα εἶδε.

Textus Receptus

2. ος εμαρτυρησεν τον λογον του θεου και την μαρτυριαν ιησου χριστου οσα τε ειδεν 2. os emarturesen ton logon tou theou kai ten marturian iesou christou osa te eiden

East Original

3 μακάριος ὁ ἀναγινώσκων καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς.

Textus Receptus

3. μακαριος ο αναγινωσκων και οι ακουοντες τους λογους της προφητειας και τηρουντες τα εν αυτη γεγραμμενα ο γαρ καιρος εγγυς 3. makarios o anaginoskon kai oi akouontes tous logous tes profeteias kai terountes ta en aute gegrammena o gar kairos eggus

East Original

4 Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων, ἃ ἐνώπιον τοῦ θρόνου αὐτοῦ,

Textus Receptus

4. ιωαννης ταις επτα εκκλησιαις ταις εν τη ασια χαρις υμιν και ειρηνη απο του ο ων και ο ην και ο ερχομενος και απο των επτα πνευματων α εστιν ενωπιον του θρονου αυτου 4. ioannes tais epta ekklesiais tais en te asia charis umin kai eirene apo tou o on kai o en kai o erchomenos kai apo ton epta pneumaton a estin enopion tou thronou autou

East Original

5 καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὁ μάρτυς ὁ πιστός, ὁ πρωτότοκος τῶν νεκρῶν καὶ ὁ

Textus Receptus

5. και απο ιησου χριστου ο μαρτυς ο πιστος ο πρωτοτοκος εκ των νεκρων και ο αρχων των

ἄρχων τῶν βασιλέων τῆς γῆς. Τῷ ἀγαπῶντι ἡμᾶς καὶ λούσαντι ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι αὐτοῦ,

East Original 6 καὶ ἐποίησεν ἡμᾶς βασιλείαν, ἱερεῖς τῷ Θεῷ καὶ πατρὶ αὐτοῦ, αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

East Original 7 Ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν, καὶ κόψονται ἐπ’ αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ναί, ἀμήν.

East Original 8 Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, λέγει Κύριος ὁ Θεός, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.

βασιλεων της γης τω αγαπησαντι ημας και λουσαντι ημας απο των αμαρτιων ημων εν τω αιματι αυτου 5. kai apo iesou christou o martus o pistos o prototokos ek ton nekron kai o archon ton βasileon tes ges to agapesanti emas kai lousanti emas apo ton amartion emon en to aimati autou

Textus Receptus 6. και εποιησεν ημας βασιλεις και ιερεις τω θεω και πατρι αυτου αυτω η δοξα και το κρατος εις τους αιωνας των αιωνων αμην 6. kai epoiesen emas βasileis kai iereis to theo kai patri autou auto e doksa kai to kratos eis tous aionas ton aionon amen

Textus Receptus 7. ιδου ερχεται μετα των νεφελων και οψεται αυτον πας οφθαλμος και οιτινες αυτον εξεκεντησαν και κοψονται επ αυτον πασαι αι φυλαι της γης ναι αμην 7. idou erchetai meta ton nefelon kai opsetai auton pas ofthalmos kai oitines auton eksekentesan kai kopsontai ep auton pasai ai fulai tes ges nai amen

Textus Receptus 8. εγω ειμι το α και το ω αρχη και τελος λεγει ο κυριος ο ων και ο ην και ο ερχομενος ο παντοκρατωρ 8. ego eimi to a kai to o arche kai

telos legei o kurios o on kai o en kai o
erchomenos o pantokrator

East Original

9 Ἐγὼ Ἰωάννης, ὁ ἀδελφὸς ὑμῶν καὶ
συγκοινωνὸς ἐν τῇ θλίψει καὶ βασιλείᾳ
καὶ ὑπομονῇ ἐν Ἰησοῦ Χριστῷ, ἐγενόμην
ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ διὰ τὸν
λόγον τοῦ Θεοῦ καὶ διὰ τὴν μαρτυρίαν
Ἰησοῦ Χριστοῦ.

Textus Receptus

9. εγω ιωαννης ο και αδελφος υμων και
συγκοινωνος εν τη θλιψει και εν τη βασιλεια
και υπομονη ιησου χριστου εγενομην εν τη
νησω τη καλουμενη πατμω δια τον λογον του
θεου και δια την μαρτυριαν ιησου χριστου 9.
ego ioannes o kai adelfos umon kai
sugkoinonos en te thlipsei kai en te βasileia kai
upomone iesou christou egenomen en te neso te
kaloumene patmo dia ton logon tou theou kai
dia ten marturian iesou christou

East Original

10 ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ
ἡμέρᾳ, καὶ ἤκουσα φωνὴν ὀπίσω μου
μεγάλην ὡς σάλπιγγος

Textus Receptus

10. εγενομην εν πνευματι εν τη κυριακη
ημερα και ηκουσα οπισω μου φωνην
μεγαλην ως σαλπιγγος 10. egenomen en
pneumati en te kuriake emera kai ekousa opiso
mou fonen megalen os salpiggos

East Original

11 λεγούσης· Ὃ βλέπεις γράψον εἰς
βιβλίον καὶ πέμψον ταῖς ἑπτὰ
ἐκκλησίαις, εἰς Ἔφεσον καὶ εἰς Σμύρναν
καὶ εἰς Πέργαμον καὶ εἰς Θυάτειρα καὶ εἰς
Σάρδεις καὶ εἰς Φιλαδέλφειαν καὶ εἰς
Λαοδίκειαν.

Textus Receptus

11. λεγουσης εγω ειμι το α και το ω ο πρωτος
και ο εσχατος και ο βλεπεις γραψον εις
βιβλιον και πεμψον ταις {VAR2: επτα }
εκκλησιαις ταις εν ασια εις εφεσον και εις
σμυρναν και εις περγαμον και εις θυατειρα
και εις σαρδεις και εις φιλαδελφειαν και εις

λαοδικειαν 11. legouses ego eimi to a kai to o o protos kai o eschatos kai o βlepeis grapson eis βiβlion kai pempson tais {VAR2: epta } ekklesiais tais en asia eis efeson kai eis smurnan kai eis pergamon kai eis thuateira kai eis sardeis kai eis filadelfeian kai eis laodikeian

East Original

12 Καὶ ἐκεῖ ἐπέστρεψα βλέπειν τὴν φωνὴν ἥτις ἐλάλει μετ᾽ ἐμοῦ· καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς,

Textus Receptus

12. και επεστρεψα βλεπειν την φωνην ητις ελαλησεν μετ εμου και επιστρεψας ειδον επτα λυχνιας χρυσας 12. kai epestrepsa βlepein ten fonen etis elalesen met emou kai epistrepsas eidon epta luchnias chrusas

East Original

13 καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον υἱῷ ἀνθρώπου, ἐνδεδυμένον ποδήρη καὶ περιεζωσμένον πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν·

Textus Receptus

13. και εν μεσω των επτα λυχνιων ομοιον υιω ανθρωπου ενδεδυμενον ποδηρη και περιεζωσμενον προς τοις μαστοις ζωνην χρυσην 13. kai en meso ton epta luchnion omoion uio anthropou endedumenon podere kai periezosmenon pros tois mastois zonen chrusen

East Original

14 ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες λευκαὶ ὡς ἔριον λευκόν, ὡς χιών, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός,

Textus Receptus

16 λέγοντες· Οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη βύσσινον καὶ πορφυροῦν καὶ κόκκινον, καὶ κεχρυσωμένη ἐν χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος.

Textus Receptus

16. και λεγοντες ουαι ουαι η πολις η μεγαλη η περιβεβλημενη βυσσινον και πορφυρουν και κοκκινον και κεχρυσωμενη εν χρυσω και λιθω τιμιω και μαργαριταις 16. kai legontes ouai ouai e polis e megale e periβeβlemene βussinon kai porfuroun kai kokkinon kai kechrusomene en chruso kai litho timio kai margaritais

East Original

17 καὶ πᾶς κυβερνήτης καὶ πᾶς ὁ ἐπὶ τόπον πλέων, καὶ ναῦται καὶ ὅσοι τὴν

Textus Receptus

17. οτι μια ωρα ηρημωθη ο τοσουτος πλουτος και πας κυβερνητης και πας επι των πλοιων

θάλασσαν ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν,

ο ομιλος και ναυται και οσοι την θαλασσαν εργαζονται απο μακροθεν εστησαν 17. oti mia ora eremothe o tosoυtos ploυtos kai pas kυβernetes kai pas epi ton ploion o omilos kai naυtai kai osoi ten thalassan ergazontai apo makrothen estesan

East Original

18 καὶ ἔκραζον βλέποντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, λέγοντες· Τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ;

Textus Receptus

18. και εκραζον ορωντες τον καπνον της πυρωσεως αυτης λεγοντες τις ομοια τη πολει τη μεγαλη 18. kai ekrazon orontes ton kapnon tes pυroseos aυtes legontes tis omoia te polei te megale

East Original

19 καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ ἔκραζον κλαίοντες καὶ πενθοῦντες, λέγοντες· Οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη, ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες τὰ πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς· ὅτι μιᾷ ὥρᾳ ἠρημώθη.

Textus Receptus

19. και εβαλον χουν επι τας κεφαλας αυτων και εκραζον κλαιοντες και πενθουντες λεγοντες ουαι ουαι η πολις η μεγαλη εν η επλουτησαν παντες οι εχοντες πλοια εν τη θαλασση εκ της τιμιοτητος αυτης οτι μια ωρα ηρημωθη 19. kai eβalon choυn epi tas kefalas aυton kai ekrazon klaiontes kai penthoυntes legontes oυai oυai e polis e megale en e eploυtesan pantes oi echontes ploia en te thalasse ek tes timiotetos aυtes oti mia ora eremothe

East Original

20 Εὐφραίνου ἐπ’ αὐτῇ, οὐρανέ, καὶ οἱ

Textus Receptus

20. ευφραινου επ αυτην ουρανε και οι αγιοι

ἅγιοι καὶ οἱ ἀπόστολοι καὶ οἱ προφῆται, ὅτι ἔκρινεν ὁ Θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς.

αποστολοι και οι προφηται οτι εκρινεν ο θεος το κριμα υμων εξ αυτης 20. eufrainou ep auten ourane kai oi agioi apostoloi kai oi profetai oti ekrinen o theos to krima umon eks autes

East Original

21 Καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον μέγαν καὶ ἔβαλεν εἰς τὴν θάλασσαν λέγων· Οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι.

Textus Receptus

21. και ηρεν εις αγγελος ισχυρος λιθον ως μυλον μεγαν και εβαλεν εις την θαλασσαν λεγων ουτως ορμηματι βληθησεται βαβυλων η μεγαλη πολις και ου μη ευρεθη ετι 21. kai eren eis aggelos ischuros lithon os mulon megan kai eβalen eis ten thalassan legon outos ormemati βlethesetai βaβulon e megale polis kai ou me eurethe eti

East Original

22 καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι, καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι, καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι,

Textus Receptus

22. και φωνη κιθαρωδων και μουσικων και αυλητων και σαλπιστων ου μη ακουσθη εν σοι ετι και πας τεχνιτης πασης τεχνης ου μη ευρεθη εν σοι ετι και φωνη μυλου ου μη ακουσθη εν σοι ετι 22. kai fone kitharodon kai mousikon kai auleton kai salpiston ou me akousthe en soi eti kai pas technites pases technes ou me eurethe en soi eti kai fone mulou ou me akousthe en soi eti

East Original

23 καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι, καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ

Textus Receptus

23. και φως λυχνου ου μη φανη εν σοι ετι και φωνη νυμφιου και νυμφης ου μη ακουσθη εν

ἀκουσθῇ ἐν σοὶ ἔτι· ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐπλανήθησαν πάντα τὰ ἔθνη,

σοι ετι οτι οι εμποροι σου ησαν οι μεγιστανες της γης οτι εν τη φαρμακεια σου επλανηθησαν παντα τα εθνη 23. kai fos luchnou ou me fane en soi eti kai fone numfiou kai numfes ou me akousthe en soi eti oti oi emporoi sou esan oi megistanes tes ges oti en te farmakeia sou eplanethesan panta ta ethne

East Original

24 καὶ ἐν αὐτῇ αἵματα προφητῶν καὶ ἁγίων εὑρέθη καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.

Textus Receptus

24. και εν αυτη αιμα προφητων και αγιων ευρεθη και παντων των εσφαγμενων επι της γης 24. kai en aute aima profeton kai agion eurethe kai panton ton esfagmenon epi tes ges

## Κεφάλαιο 19

East Original

1 Μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν μεγάλην ὄχλου πολλοῦ ἐν τῷ οὐρανῷ λεγόντων· Ἀλληλούϊα· ἡ σωτηρία καὶ ἡ δόξα καὶ ἡ δύναμις τοῦ Θεοῦ ἡμῶν,

Textus Receptus

1. και μετα ταυτα ηκουσα φωνην οχλου πολλου μεγαλην εν τω ουρανω λεγοντος αλληλουια η σωτηρια και η δοξα και η τιμη και η δυναμις κυριω τω θεω ημων 1. kai meta tauta ekousa fonen ochlou pollou megalen en to ourano legontos allelouia e soteria kai e doksa kai e time kai e dunamis kurio to theo emon

East Original

2 ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ· ὅτι ἔκρινε τὴν πόρνην τὴν

Textus Receptus

2. οτι αληθιναι και δικαιαι αι κρισεις αυτου οτι εκρινεν την πορνην την μεγαλην ητις

μεγάλην, ἥτις διέφθειρε τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ χειρὸς αὐτῆς.

εφθειρεν την γην εν τη πορνεια αυτης και εξεδικησεν το αιμα των δουλων αυτου εκ της χειρος αυτης 2. oti alethinai kai dikaiai ai kriseis autou oti ekrinen ten pornen ten megalen etis eftheiren ten gen en te porneia autes kai eksedikesen to aima ton doulon autou ek tes cheiros autes

East Original

3 καὶ δεύτερον εἴρηκαν· Ἀλληλούϊα· καὶ ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Textus Receptus

3. και δευτερον ειρηκαν αλληλουια και ο καπνος αυτης αναβαινει εις τους αιωνας των αιωνων 3. kai deuteron eirekan allelouia kai o kapnos autes anaβainei eis tous aionas ton aionon

East Original

4 καὶ ἔπεσαν οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι καὶ τὰ τέσσαρα ζῷα καὶ προσεκύνησαν τῷ Θεῷ τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ λέγοντες· Ἀμήν, Ἀλληλούϊα.

Textus Receptus

4. και επεσαν οι πρεσβυτεροι οι εικοσι και τεσσαρες και τα τεσσαρα ζωα και προσεκυνησαν τω θεω τω καθημενω επι του θρονου λεγοντες αμην αλληλουια 4. kai epesan oi presβuteroi oi eikosi kai tessares kai ta tessara zoa kai prosekunesan to theo to kathemeno epi tou thronou legontes amen allelouia

East Original

5 καὶ φωνὴ ἀπὸ τοῦ θρόνου ἐξῆλθε λέγουσα· Αἰνεῖτε τὸν Θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ καὶ οἱ φοβούμενοι αὐτόν,

Textus Receptus

5. και φωνη εκ του θρονου εξηλθεν λεγουσα αινειτε τον θεον ημων παντες οι δουλοι αυτου και οι φοβουμενοι αυτον και οι μικροι

οἱ μικροὶ καὶ οἱ μεγάλοι.

και οι μεγαλοι 5. kai fone ek tou thronou ekselthen legousa aineite ton theon emon pantes oi douloi autou kai oi foβoumenoi auton kai oi mikroi kai oi megaloi

East Original

6 Καὶ ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ καὶ ὡς φωνὴν ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν, λεγόντων· Ἀλληλούϊα, ὅτι ἐβασίλευσε Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ.

Textus Receptus

6. και ηκουσα ως φωνην οχλου πολλου και ως φωνην υδατων πολλων και ως φωνην βροντων ισχυρων λεγοντας αλληλουια οτι εβασιλευσεν κυριος ο θεος ο παντοκρατωρ 6. kai ekousa os fonen ochlou pollou kai os fonen udaton pollon kai os fonen βronton ischuron legontas allelouia oti eβasileusen kurios o theos o pantokrator

East Original

7 χαίρωμεν καὶ ἀγαλλιώμεθα καὶ δῶμεν τὴν δόξαν αὐτῷ, ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου, καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν.

Textus Receptus

7. χαιρωμεν και αγαλλιωμεθα και δωμεν την δοξαν αυτω οτι ηλθεν ο γαμος του αρνιου και η γυνη αυτου ητοιμασεν εαυτην 7. chairomen kai agalliometha kai domen ten doksan auto oti elthen o gamos tou arniou kai e gune autou etoimasen eauten

East Original

8 καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται βύσσινον λαμπρὸν καθαρόν· τὸ γὰρ βύσσινον τὰ δικαιώματα τῶν ἁγίων ἐστί.

Textus Receptus

8. και εδοθη αυτη ινα περιβαληται βυσσινον καθαρον και λαμπρον το γαρ βυσσινον τα δικαιωματα εστιν των αγιων 8. kai edothe aute ina periβaletai βussinon katharon kai lampron to gar βussinon ta dikaiomata estin

ton agion

East Original

9 Καὶ λέγει μοι· Γράψον, μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι. καὶ λέγει μοι· Οὗτοι οἱ λόγοι ἀληθινοὶ τοῦ Θεοῦ εἰσι.

Textus Receptus

9. και λεγει μοι γραψον μακαριοι οι εις το δειπνον του γαμου του αρνιου κεκλημενοι και λεγει μοι ουτοι οι λογοι αληθινοι εισιν του θεου 9. kai legei moi grapson makarioi oi eis to deipnon tou gamou tou arniou keklemenoi kai legei moi outoi oi logoi alethinoi eisin tou theou

East Original

10 Καὶ ἔπεσα ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ. καὶ λέγει μοι· Ὅρα μή· σύνδουλός σού εἰμι καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ· τῷ Θεῷ προσκύνησον· ἡ γὰρ μαρτυρία τοῦ Ἰησοῦ ἐστι τὸ πνεῦμα τῆς προφητείας.

Textus Receptus

10. και επεσον εμπροσθεν των ποδων αυτου προσκυνησαι αυτω και λεγει μοι ορα μη συνδουλος σου ειμι και των αδελφων σου των εχοντων την μαρτυριαν του ιησου τω θεω προσκυνησον η γαρ μαρτυρια του ιησου εστιν το πνευμα της προφητειας 10. kai epeson emprosthen ton podon autou proskunesai auto kai legei moi ora me sundoulos sou eimi kai ton adelfon sou ton echonton ten marturian tou iesou to theo proskuneson e gar marturia tou iesou estin to pneuma tes profeteias

East Original

11 Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ’ αὐτὸν, καλούμενος πιστὸς καὶ

Textus Receptus

11. και ειδον τον ουρανον ανεωγμενον και ιδου ιππος λευκος και ο καθημενος επ αυτον καλουμενος πιστος και αληθινος και εν

ἀληθινός, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ
πολεμεῖ·

δικαιοσυνη κρινει και πολεμει 11. kai eidon
ton ouranon aneogmenon kai idou ippos leukos
kai o kathemenos ep auton kaloumenos pistos
kai alethinos kai en dikaiosune krinei kai
polemei

East Original
12 οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός,
καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα
πολλά, ἔχων ὀνόματα γεγραμμένα, καὶ
ὄνομα γεγραμμένον ὃ οὐδεὶς οἶδεν εἰ μὴ
αὐτός,

Textus Receptus
12. οι δε οφθαλμοι αυτου ως φλοξ πυρος και
επι την κεφαλην αυτου διαδηματα πολλα
εχων ονομα γεγραμμενον ο ουδεις οιδεν ει
μη αυτος 12. oi de ofthalmoi autou os floks
puros kai epi ten kefalen autou diademata polla
echon onoma gegrammenon o oudeis oiden ei
me autos

East Original
13 καὶ περιβεβλημένος ἱμάτιον
βεβαμμένον ἐν αἵματι, καὶ κέκληται τὸ
ὄνομα αὐτοῦ, ὁ Λόγος τοῦ Θεοῦ.

Textus Receptus
13. και περιβεβλημενος ιματιον βεβαμμενον
αιματι και καλειται το ονομα αυτου ο λογος
του θεου 13. kai periβeβlemenos imation
βeβammenon aimati kai kaleitai to onoma
autou o logos tou theou

East Original
14 καὶ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ
ἠκολούθει αὐτῷ ἐπὶ ἵπποις λευκοῖς,
ἐνδεδυμένοι βύσσινον λευκὸν καθαρόν.

Textus Receptus
14. και τα στρατευματα {VAR2: τα } εν τω
ουρανω ηκολουθει αυτω εφ ιπποις λευκοις
ενδεδυμενοι βυσσινον λευκον και καθαρον
14. kai ta strateumata {VAR2: ta } en to ourano
ekolouthei auto ef ippois leukois endedumenoi
βussinon leukon kai katharon

East Original

15 καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα δίστομος, ἵνα ἐν αὐτῇ πατάσσῃ τὰ ἔθνη· καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ Θεοῦ τοῦ παντοκράτορος.

Textus Receptus

15. και εκ του στοματος αυτου εκπορευεται ρομφαια οξεια ινα εν αυτη πατασση τα εθνη και αυτος ποιμανει αυτους εν ραβδω σιδηρα και αυτος πατει την ληνον του οινου του θυμου και της οργης του θεου του παντοκρατορος 15. kai ek tou stomatos autou ekporeuetai romfaia okseia ina en aute patasse ta ethne kai autos poimanei autous en raβdo sidera kai autos patei ten lenon tou oinou tou thumou kai tes orges tou theou tou pantokratoros

East Original

16 καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ ὄνομα γεγραμμένον· βασιλεὺς βασιλέων καὶ κύριος κυρίων.

Textus Receptus

16. και εχει επι το ιματιον και επι τον μηρον {VAR1: αυτου το ονομα } {VAR2: αυτου ονομα } γεγραμμενον βασιλευς βασιλεων και κυριος κυριων 16. kai echei epi to imation kai epi ton meron {VAR1: autou to onoma } {VAR2: autou onoma } gegrammenon βasileus βasileon kai kurios kurion

East Original

17 Καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ, καὶ ἔκραξεν ἐν φωνῇ μεγάλῃ λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς πετομένοις ἐν μεσουρανήματι· Δεῦτε συνάχθητε εἰς τὸ δεῖπνον τὸ μέγα τοῦ Θεοῦ,

Textus Receptus

17. και ειδον ενα αγγελον εστωτα εν τω ηλιω και εκραξεν φωνη μεγαλη λεγων πασιν τοις ορνεοις τοις πετωμενοις εν μεσουρανηματι δευτε και συναγεσθε εις το δειπνον του μεγαλου θεου 17. kai eidon ena aggelon estota en to elio kai ekraksen fone megale legon pasin

tois orneois tois petomenois en mesouranemati deute kai sunagesthe eis to deipnon tou megalou theou

East Original

18 ἵνα φάγητε σάρκας βασιλέων καὶ σάρκας χιλιάρχων καὶ σάρκας ἰσχυρῶν καὶ σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ᾽ αὐτῶν, καὶ σάρκας πάντων ἐλευθέρων τε καὶ δούλων, καὶ μικρῶν τε καὶ μεγάλων.

Textus Receptus

18. ινα φαγητε σαρκας βασιλεων και σαρκας χιλιαρχων και σαρκας ισχυρων και σαρκας ιππων και των καθημενων επ αυτων και σαρκας παντων ελευθερων {VAR2: τε } και δουλων και μικρων και μεγαλων 18. ina fagete sarkas βasileon kai sarkas chiliarchon kai sarkas ischuron kai sarkas ippon kai ton kathemenon ep auton kai sarkas panton eleutheron {VAR2: te } kai doulon kai mikron kai megalon

East Original

19 Καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι τὸν πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ.

Textus Receptus

19. και ειδον το θηριον και τους βασιλεις της γης και τα στρατευματα αυτων συνηγμενα ποιησαι πολεμον μετα του καθημενου επι του ιππου και μετα του στρατευματος αυτου 19. kai eidon to therion kai tous βasileis tes ges kai ta strateumata auton sunegmena poiesai polemon meta tou kathemenou epi tou ippou kai meta tou strateumatos autou

East Original

20 καὶ ἐπιάσθη τὸ θηρίον καὶ ὁ μετ᾽ αὐτοῦ ψευδοπροφήτης ὁ ποιήσας τὰ σημεῖα

Textus Receptus

20. και επιασθη το θηριον και μετα τουτου ο ψευδοπροφητης ο ποιησας τα σημεια

ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλάνησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ· ζῶντες ἐβλήθησαν οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν θείῳ.

ενωπιον αυτου εν οις επλανησεν τους λαβοντας το χαραγμα του θηριου και τους προσκυνουντας τη εικονι αυτου ζωντες εβληθησαν οι δυο εις την λιμνην του πυρος την καιομενην εν τω θειω 20. kai epiasthe to therion kai meta toutou o pseυdoprofetes o poiesas ta semeia enopion aυtoυ en ois eplanesen toυs laβontas to charagma toυ therioυ kai toυs proskυnoυntas te eikoni aυtoυ zontes eβlethesan oi dυo eis ten limnen toυ pυros ten kaiomenen en to theio

East Original

21 καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐξελθούσῃ ἐκ τοῦ στόματος αὐτοῦ· καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

Textus Receptus

21. και οι λοιποι απεκτανθησαν εν τη ρομφαια του καθημενου επι του ιππου τη εκπορευομενη εκ του στοματος αυτου και παντα τα ορνεα εχορτασθησαν εκ των σαρκων αυτων 21. kai oi loipoi apektanthesan en te romfaia toυ kathemenoυ epi toυ ippoυ te ekporeυomene ek toυ stomatos aυtoυ kai panta ta ornea echortasthesan ek ton sarkon aυton

## Κεφάλαιο 20

East Original

1 Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ

Textus Receptus

1. και ειδον αγγελον καταβαινοντα εκ του

οὐρανοῦ, ἔχοντα τὴν κλεῖν τῆς ἀβύσσου καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ.

ουρανου εχοντα την κλειδα της αβυσσου και αλυσιν μεγαλην επι την χειρα αυτου 1. kai eidon aggelon kataβainonta ek tou ouranou echonta ten kleida tes aβussou kai alusin megalen epi ten cheira autou

East Original

2 καὶ ἐκράτησε τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρχαῖον, ὅς ἐστι Διάβολος καὶ ὁ Σατανᾶς ὁ πλανῶν οἰκουμένην, καὶ ἔδησεν αὐτὸν χίλια ἔτη,

Textus Receptus

2. και εκρατησεν τον δρακοντα τον οφιν τον αρχαιον ος εστιν διαβολος και σατανας και εδησεν αυτον χιλια ετη 2. kai ekratesen ton drakonta ton ofin ton archaion os estin diaβolos kai satanas kai edesen auton chilia ete

East Original

3 καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισε καὶ ἐσφράγισε ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανᾷ ἔτι τὰ ἔθνη, ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον.

Textus Receptus

3. και εβαλεν αυτον εις την αβυσσον και εκλεισεν αυτον και εσφραγισεν επανω αυτου ινα μη πλανηση τα εθνη ετι αχρι τελεσθη τα χιλια ετη και μετα ταυτα δει αυτον λυθηναι μικρον χρονον 3. kai eβalen auton eis ten aβusson kai ekleisen auton kai esfragisen epano autou ina me planese ta ethne eti achri telesthe ta chilia ete kai meta tauta dei auton luthenai mikron chronon

East Original

4 Καὶ εἶδον θρόνους, καὶ ἐκάθισαν ἐπ’ αὐτούς, καὶ κρῖμα ἐδόθη αὐτοῖς, καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ καὶ διὰ τὸν λόγον τοῦ

Textus Receptus

4. και ειδον θρονους και εκαθισαν επ αυτους και κριμα εδοθη αυτοις και τας ψυχας των πεπελεκισμενων δια την μαρτυριαν ιησου και δια τον λογον του θεου και οιτινες ου

Θεοῦ, καὶ οἵτινες οὐ προσεκύνησαν τὸ θηρίον οὔτε τὴν εἰκόνα αὐτοῦ, καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ μέτωπον αὐτῶν καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν· καὶ ἔζησαν καὶ ἐβασίλευσαν μετὰ τοῦ Χριστοῦ χίλια ἔτη·

προσεκυνησαν τω θηριω ουτε την εικονα αυτου και ουκ ελαβον το χαραγμα επι το μετωπον αυτων και επι την χειρα αυτων και εζησαν και εβασιλευσαν μετα χριστου {VAR1: τα } χιλια ετη 4. kai eidon thronous kai ekathisan ep autous kai krima edothe autois kai tas psuchas ton pepelekismenon dia ten marturian iesou kai dia ton logon tou theou kai oitines ou prosekunesan to therio oute ten eikona autou kai ouk elaβon to charagma epi to metopon auton kai epi ten cheira auton kai ezesan kai eβasileusan meta christou {VAR1: ta } chilia ete

East Original

5 καὶ οἱ λοιποὶ τῶν νεκρῶν οὐκ ἔζησαν ἕως τελεσθῇ τὰ χίλια ἔτη. αὕτη ἡ ἀνάστασις ἡ πρώτη.

Textus Receptus

5. οι δε λοιποι των νεκρων ουκ ανεζησαν εως τελεσθη τα χιλια ετη αυτη η αναστασις η πρωτη 5. oi de loipoi ton nekron ouk anezesan eos telesthe ta chilia ete aute e anastasis e prote

East Original

6 μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ δεύτερος θάνατος οὐκ ἔχει ἐξουσίαν, ἀλλ’ ἔσονται ἱερεῖς Θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσι μετ’ αὐτοῦ χίλια ἔτη.

Textus Receptus

6. μακαριος και αγιος ο εχων μερος εν τη αναστασει τη πρωτη επι τουτων ο θανατος ο δευτερος ουκ εχει εξουσιαν αλλ εσονται ιερεις του θεου και του χριστου και βασιλευσουσιν μετ αυτου χιλια ετη 6. makarios kai agios o echon meros en te anastasei te prote epi touton o thanatos o

deυteros oυk echei eksoυsian all esontai iereis toυ theoυ kai toυ christoυ kai βasileυsoυsin met aυtoυ chilia ete

East Original

7 Καὶ ὅταν τελεσθῇ τὰ χίλια ἔτη, λυθήσεται ὁ Σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ,

Textus Receptus

7. και οταν τελεσθη τα χιλια ετη λυθησεται ο σατανας εκ της φυλακης αυτου 7. kai otan telesthe ta chilia ete lυthesetai o satanas ek tes fυlakes aυtoυ

East Original

8 καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσσαρσι γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ Μαγώγ, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον, ὧν ὁ ἀριθμὸς αὐτῶν ὡς ἡ ἄμμος τῆς θαλάσσης.

Textus Receptus

8. και εξελευσεται πλανησαι τα εθνη τα εν ταις τεσσαρσιν γωνιαις της γης τον γωγ και τον μαγωγ συναγαγειν αυτους εις πολεμον ων ο αριθμος ως η αμμος της θαλασσης 8. kai ekseleυsetai planesai ta ethne ta en tais tessarsin goniais tes ges ton gog kai ton magog sυnagagein aυtoυs eis polemon on o arithmos os e ammos tes thalasses

East Original

9 καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ ἐκύκλευσαν τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν πόλιν τὴν ἠγαπημένην· καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ καὶ κατέφαγεν αὐτούς·

Textus Receptus

9. και ανεβησαν επι το πλατος της γης και εκυκλωσαν την παρεμβολην των αγιων και την πολιν την ηγαπημενην και κατεβη πυρ απο του θεου εκ του ουρανου και κατεφαγεν αυτους 9. kai aneβesan epi to platos tes ges kai ekυklosan ten paremβolen ton agion kai ten polin ten egapemenen kai kateβe pυr apo toυ theoυ ek toυ oυranoυ kai katefagen aυtoυs

East Original

10 καὶ ὁ διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ τοῦ θείου, ὅπου καὶ τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης, καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Textus Receptus

10. και ο διαβολος ο πλανων αυτους εβληθη εις την λιμνην του πυρος και θειου οπου το θηριον και ο ψευδοπροφητης και βασανισθησονται ημερας και νυκτος εις τους αιωνας των αιωνων 10. kai o diaβolos o planon autous eβlethe eis ten limnen tou puros kai theiou opou to therion kai o pseudoprofetes kai βasanisthesontai emeras kai nuktos eis tous aionas ton aionon

East Original

11 Καὶ εἶδον θρόνον μέγαν λευκὸν καὶ τὸν καθήμενον ἐπ᾽ αὐτῷ, οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς.

Textus Receptus

11. και ειδον θρονον λευκον μεγαν και τον καθημενον επ αυτου ου απο προσωπου εφυγεν η γη και ο ουρανος και τοπος ουχ ευρεθη αυτοις 11. kai eidon thronon leukon megan kai ton kathemenon ep autou ou apo prosopou efugen e ge kai o ouranos kai topos ouch eurethe autois

East Original

12 καὶ εἶδον τοὺς νεκρούς, τοὺς μεγάλους καὶ τοὺς μικρούς, ἑστῶτας ἐνώπιον τοῦ θρόνου, καὶ βιβλία ἠνοίχθησαν· καὶ ἄλλο βιβλίον ἠνοίχθη, ὅ ἐστι τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν.

Textus Receptus

12. και ειδον τους νεκρους μικρους και μεγαλους εστωτας ενωπιον του θεου και βιβλια ηνεωχθησαν και βιβλιον αλλο ηνεωχθη ο εστιν της ζωης και εκριθησαν οι νεκροι εκ των γεγραμμενων εν τοις βιβλιοις κατα τα εργα αυτων 12. kai eidon tous nekrous mikrous kai megalous estotas enopion tou theou kai βiβlia eneochthesan kai βiβlion

allo eneochthe o estin tes zoes kai ekrithesan oi nekroi ek ton gegrammenon en tois βιβliois kata ta erga aυton

East Original

13 καὶ ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ, καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν τοὺς νεκροὺς τοὺς ἐν αὐτοῖς, καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν.

Textus Receptus

13. και εδωκεν η θαλασσα τους εν αυτη νεκρους και ο θανατος και ο αδης εδωκαν τους εν αυτοις νεκρους και εκριθησαν εκαστος κατα τα εργα αυτων 13. kai edoken e thalassa toυs en aυte nekroυs kai o thanatos kai o ades edokan toυs en aυtois nekroυs kai ekrithesan ekastos kata ta erga aυton

East Original

14 καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός· οὗτος ὁ θάνατος ὁ δεύτερός ἐστιν.

Textus Receptus

14. και ο θανατος και ο αδης εβληθησαν εις την λιμνην του πυρος ουτος εστιν ο δευτερος θανατος 14. kai o thanatos kai o ades eβlethesan eis ten limnen toυ pυros oυtos estin o deυteros thanatos

East Original

15 καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.

Textus Receptus

15. και ει τις ουχ ευρεθη εν τη βιβλω της ζωης γεγραμμενος εβληθη εις την λιμνην του πυρος 15. kai ei tis oυch eυrethe en te βiβlo tes zoes gegrammenos eβlethe eis ten limnen toυ pυros

Κεφάλαιο 21

East Original

1 Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ ἀπῆλθον, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι.

Textus Receptus

1. και ειδον ουρανον καινον και γην καινην ο γαρ πρωτος ουρανος και η πρωτη γη παρηλθεν και η θαλασσα ουκ εστιν ετι 1. kai eidon ouranon kainon kai gen kainen o gar protos ouranos kai e prote ge parelthen kai e thalassa ouk estin eti

East Original

2 καὶ τὴν πόλιν τὴν ἁγίαν Ἰερουσαλὴμ καινὴν εἶδον καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ, ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς.

Textus Receptus

2. και εγω ιωαννης ειδον την πολιν την αγιαν ιερουσαλημ καινην καταβαινουσαν απο του θεου εκ του ουρανου ητοιμασμενην ως νυμφην κεκοσμημενην τω ανδρι αυτης 2. kai ego ioannes eidon ten polin ten agian ierousalem kainen kataβainousan apo tou theou ek tou ouranou etoimasmenen os numfen kekosmemenen to andri autes

East Original

3 καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λεγούσης· Ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ’ αὐτῶν, καὶ αὐτοὶ λαὸς αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ Θεὸς μετ’ αὐτῶν ἔσται,

Textus Receptus

3. και ηκουσα φωνης μεγαλης εκ του ουρανου λεγουσης ιδου η σκηνη του θεου μετα των ανθρωπων και σκηνωσει μετ αυτων και αυτοι λαοι αυτου εσονται και αυτος ο θεος εσται μετ αυτων θεος αυτων 3. kai ekousa fones megales ek tou ouranou legouses idou e skene tou theou meta ton anthropon kai

skenosei met auton kai autoi laoi autou esontai kai autos o theos estai met auton theos auton

East Original

4 καὶ ἐξαλείψει ἀπ᾽ αὐτῶν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος οὔτε κραυγὴ οὔτε πόνος οὐκ ἔσται ἔτι· ὅτι τὰ πρῶτα ἀπῆλθον.

Textus Receptus

4. και εξαλειψει ο θεος παν δακρυον απο των οφθαλμων αυτων και ο θανατος ουκ εσται ετι ουτε πενθος ουτε κραυγη ουτε πονος ουκ εσται ετι οτι τα πρωτα απηλθον 4. kai eksaleipsei o theos pan dakruon apo ton ofthalmon auton kai o thanatos ouk estai eti oute penthos oute krauge oute ponos ouk estai eti oti ta prota apelthon

East Original

5 Καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ· Ἰδοὺ καινὰ ποιῶ πάντα. καὶ λέγει μοι· Γράψον, ὅτι οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί εἰσι.

Textus Receptus

5. και ειπεν ο καθημενος επι του θρονου ιδου καινα παντα ποιω και λεγει μοι γραψον οτι ουτοι οι λογοι αληθινοι και πιστοι εισιν 5. kai eipen o kathemenos epi tou thronou idou kaina panta poio kai legei moi grapson oti outoi oi logoi alethinoi kai pistoi eisin

East Original

6 καὶ εἶπέ μοι· Γέγονεν. ἐγώ τὸ Α καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος. ἐγὼ τῷ διψῶντι δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν.

Textus Receptus

6. και ειπεν μοι γεγονεν εγω ειμι το α και το ω η αρχη και το τελος εγω τω διψωντι δωσω εκ της πηγης του υδατος της ζωης δωρεαν 6. kai eipen moi gegonen ego eimi to a kai to o e arche kai to telos ego to dipsonti doso ek tes peges tou udatos tes zoes dorean

East Original

7 ὁ νικῶν, ἔσται αὐτῷ ταῦτα, καὶ ἔσομαι

Textus Receptus

7. ο νικων κληρονομησει παντα και εσομαι

αὐτῷ Θεὸς καὶ αὐτὸς ἔσται μοι υἱός.

αυτω θεος και αυτος εσται μοι ο υιος 7. ο nikon kleronomesei panta kai esomai aυto theos kai aυtos estai moi o υios

East Original

8 τοῖς δὲ δειλοῖς καὶ ἀπίστοις καὶ ἐβδελυγμένοις καὶ φονεῦσι καὶ πόρνοις καὶ φαρμακοῖς καὶ εἰδωλολάτραις καὶ πᾶσι τοῖς ψευδέσι τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ ἐν πυρὶ καὶ θείῳ, ὅ ἐστιν ὁ θάνατος ὁ δεύτερος.

Textus Receptus

8. δειλοις δε και απιστοις και εβδελυγμενοις και φονευσιν και πορνοις και φαρμακευσιν και ειδωλολατραις και πασιν τοις ψευδεσιν το μερος αυτων εν τη λιμνη τη καιομενη πυρι και θειω ο εστιν δευτερος θανατος 8. deilois de kai apistois kai eβdelυgmenois kai foneυsin kai pornois kai farmakeυsin kai eidololatrais kai pasin tois pseυdesin to meros aυton en te limne te kaiomene pυri kai theio o estin deυteros thanatos

East Original

9 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας, τὰς γεμούσας τῶν ἑπτὰ πληγῶν τῶν ἐσχάτων, καὶ ἐλάλησε μετ’ ἐμοῦ λέγων· Δεῦρο, δείξω σοι τὴν νύμφην τὴν γυναῖκα τοῦ ἀρνίου.

Textus Receptus

9. και ηλθεν προς με εις των επτα αγγελων των εχοντων τας επτα φιαλας τας γεμουσας των επτα πληγων των εσχατων και ελαλησεν μετ εμου λεγων δευρο δειξω σοι την νυμφην του αρνιου την γυναικα 9. kai elthen pros me eis ton epta aggelon ton echonton tas epta fialas tas gemoυsas ton epta plegon ton eschaton kai elalesen met emoυ legon deυro deikso soi ten nυmfen toυ arniou ten gυnaika

East Original

10 καὶ ἀπήνεγκέ με ἐν πνεύματι ἐπ᾽ ὄρος μέγα καὶ ὑψηλόν. καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν ἁγίαν Ἰερουσαλὴμ καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ,

Textus Receptus

10. και απηνεγκεν με εν πνευματι επ ορος μεγα και υψηλον και εδειξεν μοι την πολιν την μεγαλην την αγιαν ιερουσαλημ καταβαινουσαν εκ του ουρανου απο του θεου 10. kai apenegken me en pneumati ep oros mega kai upselon kai edeiksen moi ten polin ten megalen ten agian ierousalem kataβainousan ek tou ouranou apo tou theou

East Original

11 ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ· ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι κρυσταλλίζοντι·

Textus Receptus

11. εχουσαν την δοξαν του θεου και ο φωστηρ αυτης ομοιος λιθω τιμιωτατω ως λιθω ιασπιδι κρυσταλλιζοντι 11. echousan ten doksan tou theou kai o foster autes omoios litho timiotato os litho iaspidi krustallizonti

East Original

12 ἔχουσα τεῖχος μέγα καὶ ὑψηλόν, ἔχουσα πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα, καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστιν ὀνόματα τῶν δώδεκα φυλῶν τῶν υἱῶν Ἰσραήλ.

Textus Receptus

12. εχουσαν τε τειχος μεγα και υψηλον εχουσαν πυλωνας δωδεκα και επι τοις πυλωσιν αγγελους δωδεκα και ονοματα επιγεγραμμενα α εστιν των δωδεκα φυλων των υιων ισραηλ 12. echousan te teichos mega kai upselon echousan pulonas dodeka kai epi tois pulosin aggelous dodeka kai onomata epigegrammena a estin ton dodeka fulon ton uion israel

East Original

13 ἀπ᾽ ἀνατολῶν πυλῶνες τρεῖς, καὶ ἀπὸ

Textus Receptus

13. απ ανατολης πυλωνες τρεις απο βορρα

βορρᾶ πυλῶνες τρεῖς, καὶ ἀπὸ νότου πυλῶνες τρεῖς, καὶ ἀπὸ δυσμῶν πυλῶνες τρεῖς.

East Original
14 καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ ἐπ᾽ αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου.

East Original
15 Καὶ ὁ λαλῶν μετ᾽ ἐμοῦ εἶχε μέτρον κάλαμον χρυσοῦν, ἵνα μετρήσῃ τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς καὶ τὸ τεῖχος αὐτῆς.

East Original
16 καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς ἴσον καὶ τὸ πλάτος. καὶ ἐμέτρησε τὴν πόλιν τῷ καλάμῳ ἐπὶ σταδίους δώδεκα χιλιάδων· τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστί.

πυλωνες τρεις απο νοτου πυλωνες τρεις {VAR2: και } απο δυσμων πυλωνες τρεις 13. ap anatoles pulones treis apo βorra pulones treis apo notou pulones treis {VAR2: kai } apo dusmon pulones treis

Textus Receptus
14. και το τειχος της πολεως εχον θεμελιους δωδεκα και εν αυτοις ονοματα των δωδεκα αποστολων του αρνιου 14. kai to teichos tes poleos echon themelious dodeka kai en autois onomata ton dodeka apostolon tou arniou

Textus Receptus
15. και ο λαλων μετ εμου ειχεν καλαμον χρυσουν ινα μετρηση την πολιν και τους πυλωνας αυτης και το τειχος αυτης 15. kai o lalon met emou eichen kalamon chrusoun ina metrese ten polin kai tous pulonas autes kai to teichos autes

Textus Receptus
16. και η πολις τετραγωνος κειται και το μηκος αυτης τοσουτον εστιν οσον και το πλατος και εμετρησεν την πολιν τω καλαμω επι σταδιων δωδεκα χιλιαδων το μηκος και το πλατος και το υψος αυτης ισα εστιν 16. kai e polis tetragonos keitai kai to mekos autes tosouton estin oson kai to platos kai emetresen

ten polin to kalamo epi stadion dodeka chiliadon to mekos kai to platos kai to υpsos aυtes isa estin

East Original

17 καὶ ἐμέτρησε τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσαράκοντα τεσσάρων πηχῶν, μέτρον ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου.

Textus Receptus

17. και εμετρησεν το τειχος αυτης εκατον τεσσαρακοντα τεσσαρων πηχων μετρον ανθρωπου ο εστιν αγγελου 17. kai emetresen to teichos aυtes ekaton tessarakonta tessaron pechon metron anthropoυ o estin aggeloυ

East Original

18 καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς ἴασπις, καὶ ἡ πόλις χρυσίον καθαρὸν, ὅμοιον ὑάλῳ καθαρῷ.

Textus Receptus

18. και ην η ενδομησις του τειχους αυτης ιασπις και η πολις χρυσιον καθαρον ομοια υαλω καθαρω 18. kai en e endomesis toυ teichoυs aυtes iaspis kai e polis chrυsion katharon omoia υalo katharo

East Original

19 οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος ἴασπις, ὁ δεύτερος σάπφειρος, ὁ τρίτος χαλκηδών, ὁ τέταρτος σμάραγδος,

Textus Receptus

19. και οι θεμελιοι του τειχους της πολεως παντι λιθω τιμιω κεκοσμημενοι ο θεμελιος ο πρωτος ιασπις ο δευτερος σαπφειρος ο τριτος χαλκηδων ο τεταρτος σμαραγδος 19. kai oi themelioi toυ teichoυs tes poleos panti litho timio kekosmemenoi o themelios o protos iaspis o deυteros sapfeiros o tritos chalkedon o tetartos smaragdos

East Original

20 ὁ πέμπτος σαρδόνυξ, ὁ ἕκτος σάρδιον, ὁ ἕβδομος χρυσόλιθος, ὁ ὄγδοος

Textus Receptus

20. ο πεμπτος σαρδονυξ ο εκτος σαρδιος ο εβδομος χρυσολιθος ο ογδοος βηρυλλος ο

βήρυλλος, ὁ ἔνατος τοπάζιον, ὁ δέκατος χρυσόπρασος, ὁ ἑνδέκατος ὑάκινθος, ὁ δωδέκατος ἀμέθυστος.

{VAR1: ενατος } {VAR2: εννατος } τοπαζιον ο δεκατος χρυσοπρασος ο ενδεκατος υακινθος ο δωδεκατος αμεθυστος 20. o pemptos sardonυks o ektos sardios o eβdomos chrυsolithos o ogdoos βerυllos o {VAR1: enatos } {VAR2: ennatos } topazion o dekatos chrυsoprasos o endekatos υakinthos o dodekatos amethυstos

East Original

21 καὶ οἱ δώδεκα πυλῶνες δώδεκα μαργαρῖται· ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου. καὶ ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρὸν ὡς ὕαλος διαυγής.

Textus Receptus

21. και οι δωδεκα πυλωνες δωδεκα μαργαριται ανα εις εκαστος των πυλωνων ην εξ ενος μαργαριτου και η πλατεια της πολεως χρυσιον καθαρον ως υαλος διαφανης 21. kai oi dodeka pυlones dodeka margaritai ana eis ekastos ton pυlonon en eks enos margaritoυ kai e plateia tes poleos chrυsion katharon os υalos diafanes

East Original

22 Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ναὸς αὐτῆς ἐστι, καὶ τὸ ἀρνίον.

Textus Receptus

22. και ναον ουκ ειδον εν αυτη ο γαρ κυριος ο θεος ο παντοκρατωρ ναος αυτης εστιν και το αρνιον 22. kai naon oυk eidon en aυte o gar kυrios o theos o pantokrator naos aυtes estin kai to arnion

East Original

23 καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης ἵνα φαίνωσιν αὐτῇ· ἡ

Textus Receptus

23. και η πολις ου χρειαν εχει του ηλιου ουδε της σεληνης ινα φαινωσιν εν αυτη η γαρ

γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτήν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον.

δοξα του θεου εφωτισεν αυτην και ο λυχνος αυτης το αρνιον 23. kai e polis ou chreian echei tou eliou oude tes selenes ina fainosin en aute e gar doksa tou theou efotisen auten kai o luchnos autes to arnion

East Original

24 καὶ περιπατήσουσι τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς, καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν,

Textus Receptus

24. και τα εθνη των σωζομενων εν τω φωτι αυτης περιπατησουσιν και οι βασιλεις της γης φερουσιν την δοξαν και την τιμην αυτων εις αυτην 24. kai ta ethne ton sozomenon en to foti autes peripatesousin kai oi basileis tes ges ferousin ten doksan kai ten timen auton eis auten

East Original

25 καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας· νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ·

Textus Receptus

25. και οι πυλωνες αυτης ου μη κλεισθωσιν ημερας νυξ γαρ ουκ εσται εκει 25. kai oi pulones autes ou me kleisthosin emeras nuks gar ouk estai ekei

East Original

26 καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν.

Textus Receptus

26. και οισουσιν την δοξαν και την τιμην των εθνων εις αυτην 26. kai oisousin ten doksan kai ten timen ton ethnon eis auten

East Original

27 καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν καὶ ὁ ποιῶν βδέλυγμα καὶ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.

Textus Receptus

27. και ου μη εισελθη εις αυτην παν κοινουν και ποιουν βδελυγμα και ψευδος ει μη οι γεγραμμενοι εν τω βιβλιω της ζωης του αρνιου 27. kai ou me eiselthe eis auten pan

koinoυn kai poioυn βdelυgma kai pseυdos ei me oi gegrammenoi en to βiβlio tes zoes toυ arnioυ

Κεφάλαιο 22

East Original

1 Καὶ ἔδειξέ μοι ποταμὸν ὕδατος ζωῆς λαμπρὸν ὡς κρύσταλλον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου.

Textus Receptus

1. και εδειξεν μοι καθαρον ποταμον υδατος ζωης λαμπρον ως κρυσταλλον εκπορευομενον εκ του θρονου του θεου και του αρνιου 1. kai edeiksen moi katharon potamon υdatos zoes lampron os krυstallon ekporeυomenon ek toυ thronoυ toυ theoυ kai toυ arnioυ

East Original

2 ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ, καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν.

Textus Receptus

2. εν μεσω της πλατειας αυτης και του ποταμου εντευθεν και εντευθεν ξυλον ζωης ποιουν καρπους δωδεκα κατα μηνα ενα εκαστον αποδιδουν τον καρπον αυτου και τα φυλλα του ξυλου εις θεραπειαν των εθνων 2. en meso tes plateias aυtes kai toυ potamoυ enteυthen kai enteυthen ksυlon zoes poioυn karpoυs dodeka kata mena ena ekaston apodidoυn ton karpon aυtoυ kai ta fυlla toυ ksυloυ eis therapeian ton ethnon

| | | | |
|---|---|---|---|
| East Original | 3 καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἔτι· καὶ ὁ θρόνος τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται, καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ | Textus Receptus | 3. και παν καταναθεμα ουκ εσται ετι και ο θρονος του θεου και του αρνιου εν αυτη εσται και οι δουλοι αυτου λατρευσουσιν αυτω 3. kai pan katanathema ouk estai eti kai o thronos tou theou kai tou arniou en aute estai kai oi douloi autou latreusousin auto |
| East Original | 4 καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. | Textus Receptus | 4. και οψονται το προσωπον αυτου και το ονομα αυτου επι των μετωπων αυτων 4. kai opsontai to prosopon autou kai to onoma autou epi ton metopon auton |
| East Original | 5 καὶ νὺξ οὐκ ἔσται ἔτι, καὶ οὐ χρεία λύχνου καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτιεῖ αὐτούς, καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. | Textus Receptus | 5. και νυξ ουκ εσται εκει και χρειαν ουκ εχουσιν λυχνου και φωτος ηλιου οτι κυριος ο θεος φωτιζει αυτους και βασιλευσουσιν εις τους αιωνας των αιωνων 5. kai nuks ouk estai ekei kai chreian ouk echousin luchnou kai fotos eliou oti kurios o theos fotizei autous kai basileusousin eis tous aionas ton aionon |
| East Original | 6 Καὶ λέγει μοι· Οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί, καὶ ὁ Κύριος ὁ Θεὸς τῶν πνευμάτων τῶν προφητῶν ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει. | Textus Receptus | 6. και ειπεν μοι ουτοι οι λογοι πιστοι και αληθινοι και κυριος ο θεος των αγιων προφητων απεστειλεν τον αγγελον αυτου δειξαι τοις δουλοις αυτου α δει γενεσθαι εν ταχει 6. kai eipen moi outoi oi logoi pistoi kai alethinoi kai kurios o theos ton agion profeton |

apesteilen ton aggelon autou deiksai tois doulois autou a dei genesthai en tachei

East Original

7 καὶ ἰδοὺ ἔρχομαι ταχύ. μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου.

Textus Receptus

7. ιδου ερχομαι ταχυ μακαριος ο τηρων τους λογους της προφητειας του βιβλιου τουτου 7. idou erchomai tachu makarios o teron tous logous tes profeteias tou βiβliou toutou

East Original

8 Κἀγὼ Ἰωάννης ὁ ἀκούων καὶ βλέπων ταῦτα. καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσα προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός μοι ταῦτα.

Textus Receptus

8. και εγω ιωαννης ο βλεπων ταυτα και ακουων και οτε ηκουσα και εβλεψα επεσα προσκυνησαι εμπροσθεν των ποδων του αγγελου του δεικνυοντος μοι ταυτα 8. kai ego ioannes o βlepon tauta kai akouon kai ote ekousa kai eβlepsa epesa proskunesai emprosthen ton podon tou aggelou tou deiknuontos moi tauta

East Original

9 καὶ λέγει μοι· Ὅρα μή· σύνδουλός σού εἰμι καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ Θεῷ προσκύνησον.

Textus Receptus

9. και λεγει μοι ορα μη συνδουλος σου γαρ ειμι και των αδελφων σου των προφητων και των τηρουντων τους λογους του βιβλιου τουτου τω θεω προσκυνησον 9. kai legei moi ora me sundoulos sou gar eimi kai ton adelfon sou ton profeton kai ton terounton tous logous tou βiβliou toutou to theo proskuneson

East Original

10 Καὶ λέγει μοι· Μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου

Textus Receptus

10. και λεγει μοι μη σφραγισης τους λογους της προφητειας του βιβλιου τουτου οτι ο

τούτου· ὁ καιρὸς γὰρ ἐγγύς ἐστιν.

καιρος εγγυς εστιν 10. kai legei moi me sfragises tous logous tes profeteias tou βιβliou toutou oti o kairos eggus estin

East Original

11 ὁ ἀδικῶν ἀδικησάτω ἔτι, καὶ ὁ ῥυπαρὸς ῥυπαρευθήτω ἔτι, καὶ ὁ δίκαιος δικαιοσύνην ποιησάτω ἔτι, καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι.

Textus Receptus

11. ο αδικων αδικησατω ετι και ο ρυπων ρυπωσατω ετι και ο δικαιος δικαιωθητω ετι και ο αγιος αγιασθητω ετι 11. o adikon adikesato eti kai o rupon ruposato eti kai o dikaios dikaiotheto eti kai o agios agiastheto eti

East Original

12 Ἰδοὺ ἔρχομαι ταχύ, καὶ ὁ μισθός μου μετ᾽ ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον ἔσται αὐτοῦ.

Textus Receptus

12. και ιδου ερχομαι ταχυ και ο μισθος μου μετ εμου αποδουναι εκαστω ως το εργον αυτου εσται 12. kai idou erchomai tachu kai o misthos mou met emou apodounai ekasto os to ergon autou estai

East Original

13 ἐγὼ τὸ Α καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος, ἀρχὴ καὶ τέλος.

Textus Receptus

13. εγω ειμι το α και το ω αρχη και τελος ο πρωτος και ο εσχατος 13. ego eimi to a kai to o arche kai telos o protos kai o eschatos

East Original

14 Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν.

Textus Receptus

14. μακαριοι οι ποιουντες τας εντολας αυτου ινα εσται η εξουσια αυτων επι το ξυλον της ζωης και τοις πυλωσιν εισελθωσιν εις την πολιν 14. makarioi oi poiountes tas entolas autou ina estai e eksousia auton epi to ksulon tes zoes kai tois pulosin eiselthosin eis ten polin

East Original

15 ἔξω οἱ κύνες καὶ οἱ φαρμακοὶ καὶ οἱ

Textus Receptus

15. εξω δε οι κυνες και οι φαρμακοι και οι

πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι καὶ πᾶς ὁ φιλῶν καὶ ποιῶν ψεῦδος.

πορνοι και οι φονεις και οι ειδωλολατραι και πας ο φιλων και ποιων ψευδος 15. ekso de oi kυnes kai oi farmakoi kai oi pornoi kai oi foneis kai oi eidololatrai kai pas o filon kai poion pseυdos

East Original

16 Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις. ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος Δαυῒδ, ὁ ἀστὴρ ὁ λαμπρὸς ὁ πρωϊνός.

Textus Receptus

16. εγω ιησους επεμψα τον αγγελον μου μαρτυρησαι υμιν ταυτα επι ταις εκκλησιαις εγω ειμι η ριζα και το γενος του δαβιδ ο αστηρ ο λαμπρος και ορθρινος 16. ego iesoυs epempsa ton aggelon moυ martυresai υmin taυta epi tais ekklesiais ego eimi e riza kai to genos toυ daβid o aster o lampros kai orthrinos

East Original

17 Καὶ τὸ Πνεῦμα καὶ ἡ νύμφη λέγουσιν· Ἔρχου. καὶ ὁ ἀκούων εἰπάτω· Ἔρχου. καὶ ὁ διψῶν ἐρχέσθω, καὶ ὁ θέλων λαβέτω ὕδωρ ζωῆς δωρεάν.

Textus Receptus

17. και το πνευμα και η νυμφη λεγουσιν ελθε και ο ακουων ειπατω ελθε και ο διψων ελθετω και ο θελων λαμβανετω το υδωρ ζωης δωρεαν 17. kai to pneυma kai e nυmfe legoυsin elthe kai o akoυon eipato elthe kai o dipson eltheto kai o thelon lamβaneto to υdor zoes dorean

East Original

18 Μαρτυρῶ ἐγὼ παντὶ τῷ ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· ἐάν τις ἐπιθῇ ἐπὶ ταῦτα, ἐπιθήσει ὁ Θεὸς ἐπ’ αὐτὸν τὰς πληγὰς τὰς

Textus Receptus

18. συμμαρτυρουμαι γαρ παντι ακουοντι τους λογους της προφητειας του βιβλιου τουτου εαν τις επιτιθη προς ταυτα επιθησει ο θεος επ αυτον τας πληγας τας γεγραμμενας εν

γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ·

βιβλιω τουτω 18. summarturoumai gar panti akouonti tous logous tes profeteias tou βiβliou toutou ean tis epitithe pros tauta epithesei o theos ep auton tas plegas tas gegrammenas en βiβlio touto

East Original

19 καὶ ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφελεῖ ὁ Θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας, τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ.

Textus Receptus

19. και εαν τις αφαιρη απο των λογων βιβλου της προφητειας ταυτης αφαιρησει ο θεος το μερος αυτου απο βιβλου της ζωης και εκ της πολεως της αγιας και των γεγραμμενων εν βιβλιω τουτω 19. kai ean tis afaire apo ton logon βiβlou tes profeteias tautes afairesei o theos to meros autou apo βiβlou tes zoes kai ek tes poleos tes agias kai ton gegrammenon en βiβlio touto

East Original

20 Λέγει ὁ μαρτυρῶν ταῦτα· Ναὶ ἔρχομαι ταχύ. Ἀμήν, ναὶ ἔρχου, Κύριε Ἰησοῦ.

Textus Receptus

20. λεγει ο μαρτυρων ταυτα ναι ερχομαι ταχυ αμην ναι ερχου κυριε ιησου 20. legei o marturon tauta nai erchomai tachu amen nai erchou kurie iesou

East Original

21 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων· ἀμήν.

Textus Receptus

21. η χαρις του κυριου ημων ιησου χριστου μετα παντων υμων αμην 21. e charis tou kuriou emon iesou christou meta panton umon amen